ἐκτάσεως δηλονότι τῶν χειρῶν τοῦ Μωϋσέως εὐχομένου τῷ Θεῷ, διὰ τοῦ ἐν τῇ ἐρήμῳ ὑψωθέντος ὄφεως (Ἀριθ. κά. 9)[*], καὶ διὰ τῶν λόγων τοῦ εἰκοστοῦ πρώτου ψαλμοῦ, ὃς οὐδὲν ἕτερόν ἐστιν, ἢ προφητεία περὶ τῆς σταυρώσεως τοῦ Ἰησοῦ Χριστοῦ· ἔπειτα δείκνυσιν, ὅτι, κατὰ τὰς προφητείας, ἀπέκειτο τῷ Μεσίᾳ οὐ μόνον παθεῖν, ἀλλὰ καὶ ἀναστῆναι (86—108).

Ἐν τῷ τρίτῳ μέρει διασηφηνίζει τῷ Τρύφωνι, ὅτι οἱ εἰς τὸν Ἰησοῦν Χριστὸν πιστεύοντες ἔμελλον, κατὰ τὰς προφητείας, κληρονόμοι γενέσθαι τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ. Πρὸ πάντων δὲ ἑρμηνεύεται ἐνταῦθα ἡ προφητεία τοῦ Μιχαίου περὶ τῆς τῶν ἐθνικῶν ἐπιστροφῆς (Μαλαχ. δ'. 1—7), ἔπειτα δὲ αἱ προφητεῖαι τοῦ Ζαχαρίου καὶ Μαλαχίου περὶ τῆς προσφορᾶς πνευματικῶν θυσιῶν (109—119)· δείκνυται, τίνα τὰ τέκνα τοῦ Ἀβραάμ; (120—133). Ἑρμηνεύονται αἱ τελεταὶ τῆς ἐκκλησίας (§ 134—141). Ἐν τῷ ἐπιλόγῳ ὁ Τρύφων εὐχαριστεῖ τῷ χριστιανῷ διδασκάλῳ ἐπὶ ταῖς διδασκαλίαις αὐτοῦ (142).

§ 39. *Ἀπολεσθέντα συγγράμματα τοῦ ἁγίου Ἰουστίνου· συγγράμματα ἀμφίβολα καὶ ὑποβολιμαῖα.*

Κατὰ τὴν μαρτυρίαν τοῦ Εὐσεβίου συνεγράφησαν ὑπὸ τοῦ ἁγίου Ἰουστίνου: «βιβλίον ἐπιγεγραμμένον ψάλτης, καὶ ἄλλο σχολικὸν περὶ ψυχῆς, ἐν ᾧ διαφόρους πεύσεις προτείνας περὶ τοῦ κατὰ τὴν ὑπόθεσιν προβλήματος τῶν παρ' Ἕλλησι φιλοσόφων, παρατίθεται τὰς δόξας, αἷς καὶ ἀντιλέξειν ὑπισχνεῖται, τήν τε αὐτὸς αὐτοῦ δόξαν ἐν ἑτέρῳ παραθήσεσθαι συγγράμματι». Ὁ αὐτὸς Εὐσέβιος γράφει: «πλεῖστα δὲ καὶ ἕτερα παρὰ πολλοῖς φέρεται ἀδελφοῖς τῶν αὐτοῦ πόνων», καὶ μνημονεύει τοῦ κατὰ Μαρκίωνος συγγράμματος αὐτοῦ (1). Αὐτὸς ὁ Ἰουστῖνος ἐν τῇ πρώτῃ Ἀπολογίᾳ ἐμνη-

[*] «Μυστήριον γὰρ διὰ τούτου, ὡς προέφην, ἐκήρυσσε, δι' οὗ καταλύειν μὲν τὴν δύναμιν τοῦ ὄφεως τοῦ καὶ τὴν παράβασιν ὑπὸ τοῦ Ἀδὰμ γενέσθαι ἐργασαμένου ἐκήρυσσε· σωτηρίαν δὲ τοῖς πιστεύουσιν ἐπὶ τοῦτον τὸν διὰ τοῦ σημείου τούτου, τουτέστι τοῦ σταυροῦσθαι μέλλοντα, ἀπὸ τῶν δηγμάτων τοῦ ὄφεως, ὅπερ εἰσὶν αἱ κακαὶ πράξεις, εἰδωλολατρεῖαι, καὶ ἄλλαι ἀδικίαι» (Διάλ. κεφ. 94).

(1) Εὐσέβ. ἐκκλ. ἱστορ. δ'. 18.

μόνευσε τοῦ κατὰ αἱρέσεων συγγράμματος αὐτοῦ[*]. Πάντα ταῦτα τὰ συγγράμματα τοῦ ἁγίου Ἰουστίνου ἀπώλοντο, καὶ εἰσὶ γνωστὰ βραχέα μόνον τεμάχια διαφόρων αὐτοῦ συγγραμμάτων[1].

Ὑπὸ τὸ ὄνομα τοῦ Ἰουστίνου ἐφάνησαν καὶ ἄλλα συγγράμματα, ἔτι καὶ νῦν γνωστά, ἐξ ὧν ἄλλα μὲν ἀναμφιβόλως ὑποβολιμαῖα, ἄλλα δὲ ἀμφίβολα. Εἰς τὰ ἀμφίβολα ἀνήκουσι:

ά.) Τὸ βιβλίον περί μοναρχίας Θεοῦ, κατὰ τῆς πολυθεΐας. Κατὰ τὸν Εὐσέβιον [2] καὶ τὸν Ἱερώνυμον [3], ὁ ἅγιος Ἰουστῖνος ἔγραψε περὶ τοῦ ἑνιαίου τοῦ Θεοῦ καὶ ἀπέδειξεν αὐτὸ οὐ μόνον ἐκ τῆς ἁγίας Γραφῆς, ἀλλὰ καὶ ἐξ ἐθνικῶν συγγραμμάτων. Τὸ σύγγραμμα τοῦτο περιέχει χωρία ἐκ τοῦ Σοφοκλέους, τοῦ Εὐριπίδου, καὶ ἄλλων, ἐκ δὲ τῆς ἁγίας Γραφῆς οὐδὲ λέξιν, ἀλλ' ἐν τούτοις ἐστὶ πλῆρες [4]. Καθόλου δέ οὐδὲν ἄλλο ἐστίν, ἢ συλλογὴ χωρίων τινῶν ἐκ τῶν ποιητῶν, ἀναξία μεγάλου φιλοσόφου.

β] Ὁ λόγος πρὸς Ἕλληνας ὅμοιος μόνον κατὰ τὸ ὄνομα τῷ βιβλίῳ τοῦ Ἰουστίνου κατὰ Ἑλλήνων, ὅπερ ἐγίνωσκον ὁ Εὐσέβιος καὶ ὁ Φώτιος [5]. Ἀλλ' ἐν τῷ λόγῳ τούτῳ οὐδεμία μνεία γί-

---

(*) Ἀπολογ. Ά. κεφ. 26. «Ἔστι δὲ ἡμῖν καὶ σύνταγμα κατὰ πασῶν τῶν γεγενημένων αἱρέσεων συντεταγμένον, ᾧ, εἰ βούλεσθε ἐντυχεῖν, δώσομεν».

(1) Ἔξεδ. ὑπὸ Μαρανοῦ, Γαλλανδίου, καὶ Μιγνίου.

(2) Ἐκκλ. ἱστορ. δ'. 18. «Καὶ παρὰ τούτους ἄλλο περὶ Θεοῦ μοναρχίας, ἣν οὐ μόνον ἐκ τῶν παρ' ἡμῖν Γραφῶν, ἀλλὰ καὶ ἐκ τῶν ἑλληνικῶν συνίστησι βιβλίων».

(3) De vir illustr. c. XXIII. «Sed (extat ejus) et alium de monarchia Dei.

(4) Αἱ λέξεις: «Ἐγὼ δέ, ὡς μικρῷ πρόσθεν ὑπέστην, φιλοθέῳ τῇ γνώμῃ κεχρημένος, φιλανθρώπῳ χρήσομαι τῇ φωνῇ» οὐκ ἀναφέρονται εἰς προτέρας μαρτυρίας τοῦ συγγράμματος ἀπολεσθείσας, ἀλλ' εἰς τὸ ὅτι ἀναγινώσκεται μέχρι τοῦ νῦν ἐνώπιον αὐτῶν. Ἡ ἔννοια τῶν λέξεων τούτων ἥδε· «ἐγώ, ὡς πρότερον ἐξέθηκα, οὕτως ἐρῶ ἐν πνεύματι φιλοθέῳ, γλώσσῃ φιλανθρώπῳ». Ὁ Μαρανὸς τοὺς λόγους τοῦ Εὐσεβ. ἑρμηνεύει ὧδε: «οὐκ ἐκ τῶν Γραφῶν ἡμῶν ἀποδείκνυσιν, ἀλλὰ μόνον ἐκ τῶν ἐθνικῶν συγγραμμάτων». Ἀλλὰ τὴν ἑρμηνείαν ταύτην οὐδεὶς ἀποδέχεται ὡς ἀπᾴδουσαν τῇ ἀλληλουχίᾳ τοῦ λόγου. Ἡ σημασία τῆς ἐκφράσεως παρ' Εὐσεβίῳ ἐκκλησ. ἱστ. δ'. 23. ς'. 3. Βίος Κωνστ. ά. 58. β'. 27.

(5) Ἀνάγν. ρκε'.

γνεται περὶ τῶν πονηρῶν πνευμάτων, οὐδὲ περὶ τῶν μεταξὺ τῶν χριστιανῶν καὶ τῶν ἐθνικῶν τότε ἀμφισβητησίμων ζητημάτων, ὅπερ συνίστη τὴν ὑπόθεσιν τοῦ κατὰ Ἑλλήνων βιβλίου (1). Ἐπὶ δὲ τούτοις ἡ λέξις κεκόσμηται ἄνθεσι φαντασίας ἄνευ δυνάμεως καὶ ζωῆς, ὅπερ οὐκ ἔστιν ἴδιον τῆς τοῦ Ἰουστίνου.

Προφανῶς ὑποβολιμαῖα συγγράμματα.

1] Αἱ ἐρωτήσεις μετ᾽ ἀποκρίσεων πρὸς τοὺς Ἕλληνας, ἐν αἷς γίγνεται λόγος περὶ Μανιχαίων.

2] Αἱ ἀποκρίσεις πρὸς τοὺς Ὀρθοδόξους περί τινων ἀναγκαίων ζητημάτων — σύγγραμμα τοῦ τετάρτου αἰῶνος. Ἐν αὐτῷ γίγνεται λόγος περὶ τοῦ Εἰρηναίου (α), τοῦ Ὠριγένους (β), καὶ τῶν Μανιχαίων (γ).

3] Ἡ ἀνατροπὴ δογμάτων τινῶν ἀριστοτελικῶν καὶ κατὰ τὴν ὑπόθεσιν καὶ τατὰ τὴν φράσιν ὁμοία ταῖς πρὸς τοὺς

(1) Εὐσέβ. ἐκκλησ. ἱστορ. δ´.18. Φώτ. ἀνάγν. ρκε´.

(α) Ἀπόκρ. εἰς τὴν ἐρώτ. ριε´. «Ἐκ τῶν ἀποστολικῶν δὲ χρόνων ἡ τοιαύτη συνήθεια ἔλαβε τὴν ἀρχὴν (τοῦ μὴ κλίνειν γόνυ ἐν τῇ Κυριακῇ), καθὼς φησὶν Εἰρηναῖος, ὁ μάρτυς καὶ ἐπίσκοπος Λουγδούνου, ἐν τῷ περὶ τοῦ Πάσχα λόγῳ, ἐν ᾧ μέμνηται καὶ περὶ τῆς Πεντηκοστῆς, ἐν ᾗ οὐ κλίνομεν γόνυ, ἐπειδὴ ἰσοδυναμεῖ τῇ ἡμέρᾳ τῆς Κυριακῆς, κατὰ τὴν ῥηθεῖσαν περὶ αὐτῆς αἰτίαν».

(β) Ἀπόκρ. εἰς τὴν ἐρώτ. πβ´. «Οἷς γὰρ ἐκέχρηντο οἱ ἐπαοιδοὶ ὀνόμασι πρὸς τὰ προκείμενα αὐτοῖς ἔργα, ταῦτα ἀναγκαίως παρ᾽ αὐτῶν ἐμάνθανον· κατὰ γὰρ τὸν τρόπον τῆς θεραπείας, οὕτω καὶ τὴν προσηγορίαν τῆς κλήσεως αὐτῶν ὠνόμαζον· εἴρηται δὲ τῷ Ὠριγένει τούτων τῶν ὀνομάτων ἡ ἑρμηνεία ἐν τῇ ἑρμηνείᾳ τῶν ἑβραϊκῶν ὀνομάτων», καὶ ἀπόκρ. εἰς τὴν ἐρώτ. πς´. «Εἴρηται τῷ Ὠριγένει, ἀνδρὶ ἐπισταμένῳ τὴν τῶν Ἑβραίων διάλεκτον, πάντων τῶν ἐν ταῖς Θείαις Γραφαῖς φερομένων ἑβραϊκῶν ὀνομάτων ἢ μέτρων ἡ ἑρμηνεία. Ἐκείνην ζητήσας, εὑρήσεις ἐν αὐτῇ τὴν πάντων ἑρμηνείαν, ὧν ἐζήτησας».

(γ) Ἐρώτ. ρκζ´. «Εἰ δὲ ἀληθεύει, ἀγαθὰ δὲ καὶ φαῦλα ἐν τῇ κτίσει ὑπάρχουσι, πῶς τὰ μὲν ἀγαθὰ ἀγαθοῦ, τὰ δὲ φαῦλα φαύλου Δημιουργοῦ οὐ γνωρίζονται, καὶ δύο ἐναντίαι ἀρχαὶ κατὰ Μανιχαίων δείκνυνται;»

Ἕλληνας ἀποκρίσεσι, διαλαμβάνει περὶ τῆς ὕλης, περὶ τοῦ εἴδους καὶ τῆς κινήσεως τῶν ἀστέρων (δ).

4] Ἡ ἔκθεσις τῆς ὀρθῆς ὁμολογίας — σύγγραμμα οὐκ εὐκαταφρόνητον, ἐξ οὗ Λεόντιος ὁ Βυζάντιος ἀναφέρει χωρία ὑπὸ τὸ ὄνομα τοῦ Ἰουστίνου (Κατὰ Νεστορ. βιβλ. γ΄. κεφ. 10), ἀλλὰ συγγραφὲν μετὰ τὸν Ἄρειον καὶ Εὐτυχῆ, ὡς γίγνεται κατάδηλον ἐκ τῶν λέξεων: «Τριάς, μόνος ἐν Τριάδι, ὁμοούσιος, τρία πρόσωπα, εἷς Υἱὸς καὶ δύο φύσεις. Πιθανῶς συνεγράφη ὑπὸ Ἰουστίνου τοῦ Σικελοῦ, γράψαντος ἐν τῷ τέλει τοῦ πέμπτου αἰῶνος ἐπιστολὴν ad Petrum Fullonem.

5] Ἡ ἐπιστολὴ Ζηνᾷ καὶ Σερίνῳ, πλήρης ἠθικῶν παραγγελμάτων, ἀλλ' ἄγνωστος τοῖς ἀρχαίοις, κατὰ δὲ τὴν λέξιν καὶ τὴν ὑπόθεσιν οὐχ ὁμοιάζει τοῖς συγγράμμασι τοῦ ἁγίου Ἰουστίνου. Ὁ συγγραφεὺς γράφει: «Προσεκτέον δὲ καὶ παιδίοις, ὅτι τῶν τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Νοσούντων δὲ οὐκ ἀμελητέον, οὐδὲ ῥητέον, ὅτι διακονεῖν οὐκ ἔμαθον . . . μόνον δὲ φυλακτέον μή τις ἐπὶ κακίᾳ καὶ πονηρῷ βίῳ διαβάλῃ τοὺς εἰδέναι Θεὸν φάσκοντας» (§ 17). Ὡραῖαι διδασκαλίαι, ἀλλὰ μόνον ὑπὸ ἀββᾶ μοναστηρίου δυνάμεναι ῥηθῆναι, οὐχὶ δὲ ὑπὸ τοῦ ἁγίου Ἰουστίνου, μάρτυρος τοῦ δευτέρου αἰῶνος.

§ 40. *Χαρακτὴρ τοῦ ἁγίου Ἰουστίνου ὡς διδασκάλου· ἀξία τῶν συγγραμμάτων αὐτοῦ.*

Πάντες οἱ ἀρχαῖοι πάνυ ἐσέβοντο τὸν ἅγιον Ἰουστῖνον. Κατὰ τὸν ἅγιον Μεθόδιον ἦν «ἀνὴρ οὔτε τῷ χρόνῳ πόρρω τῶν Ἀποστόλων, οὔτε τῇ ἀρετῇ (¹)· κατὰ τὸν ἅγιον Ἐπιφάνιον: «οὗτος . . . Σαμαρείτης ἦν τὸ γένος, εἰς Χριστὸν πεπιστευκώς, καὶ μεγάλως ἐξασκηθείς....» κατὰ τὸν Εὐσέβιον, κατέστη «ἄξιος τοῦ γενικοῦ σεβασμοῦ»

(δ) Φώτ. ἀνάγν. ρκέ. «Ἀνεγνώσθη Ἰουστίνου τοῦ μάρτυρος . . . καὶ ἔτι ἑτέρα αὐτοῦ πραγματεία κατὰ τοῦ πρώτου καὶ δευτέρου τῆς φυσικῆς αὐτοῦ ἀκροάσεως, ἤτοι κατὰ εἴδους καὶ ὕλης καὶ στερήσεως, ἐπιχειρηματικοὶ καὶ βίαιοι καὶ χρειώδεις λόγοι, καὶ κατὰ τοῦ πέμπτου σώματος ὁμοίως, καὶ κατὰ τῆς ἀϊδίου κινήσεως, ἣν Ἀριστοτέλης δεινότητι λογισμῶν ἐναπέτεκε».

(¹) Παρὰ Φωτ. ἀνάγν. σλδ΄.

(¹). Ὁ Φώτιος λέγει, ὅτι ὁ ἅγιος Ἰουστῖνος «ἐστὶ φιλόσοφος τῶν τε καθ᾽ ἡμᾶς καὶ μάλιστά γε τῆς θύραθεν, εἰς ἄκρον ἐντηγμένος» (²). Ἡ γνώμη τοῦ Φωτίου ἐξεικονίζει πιστῶς τὸν ἔξοχον χαρακτῆρα τοῦ Ἰουστίνου. Ὁ Φώτιος εὑρίσκει ἐν αὐτῷ εὐρείας γνώσεις ἐν τοῖς περὶ πίστεως καὶ ἐν τοῖς φιλοσοφικοῖς συστήμασιν· ἀλλ᾽ ἦν φιλόσοφος κατὰ τὸ ἑαυτοῦ πνεῦμα· τοιοῦτος ἦν ἐν τῷ βίῳ· τοιοῦτος ἐν ἅπασιν αὐτοῦ τοῖς συγγράμμασιν. Ἐκτὸς τῆς πιστῆς γνώσεως τῆς ἀποκεκαλυμμένης διδασκαλίας δείκνυσι καὶ μεγάλην ἐμβρίθειαν περὶ τὰς χριστιανικὰς ἀληθείας. Ἐκτιθεὶς τὰς ἐννοίας αὐτοῦ οὐκ ἐν ἐκείνῃ τῇ μορφῇ τῆς ἁπλῆς διδασκαλίας, ἐν ᾗ ἐκτιθεῖσιν αὐτὰς οἱ ἀποστολικοὶ ἄνδρες, ἐρευνᾷ, παραβάλλει, καὶ ἀποδεικνύει. Διαλεγόμενος πρὸς ἐθνικὸν περὶ τῶν ἀληθειῶν τοῦ χριστιανισμοῦ, εἰσάγει αὐτὸν εἰς σκέψεις περὶ αὐτῶν, καὶ ἐκτίθησιν ἀκριβῶς καὶ σαφῶς τὰ ἀντικείμενα, ἵνα καταλίπῃ ἔπειτα αὐτὸν ἀναπολόγητον ἐνώπιον τῆς συνειδήσεως αὐτοῦ διὰ τὴν ἀπιστίαν. Διαλέγεται πρὸς τὸν Ἰουδαῖον Τρύφωνα; Ἐκτίθησι τὴν ἔννοιαν τῶν προφητικῶν λόγων, φροντίζων καὶ περὶ τῆς ἀναγκαίας τῆς ἀληθείας ἐρεύνης.

Ὁ Ἰουστῖνος κυρίως ἐστὶν Ἀπολογητής. Ἡ ἀνάγκη τοῦ χρόνου καὶ τὰ ἔργα τῶν ἐχθρῶν, ἠνάγκασαν αὐτὸν κατευθῦναι τὴν προσοχὴν εἰς τὰς τυχαίας κατὰ τοῦ χριστιανισμοῦ συκοφαντίας καὶ ἀπολογεῖσθαι ὑπὲρ αὐτοῦ ἐναντίον τῶν συκοφαντιῶν τούτων. Οὐχ ἧττον δὲ εἰσῆγε τὸν ἀναγνώστην αὐτοῦ εἰς αὐτὰς τὰς βάσεις τοῦ χριστιανισμοῦ, ἀπεκάλυπτεν αὐτὸ τὸ πνεῦμα αὐτοῦ, ὅπως ἴδωσι τὴν θείαν αὐτοῦ ἀξίαν διὰ πάντας τοὺς καιροὺς καὶ διὰ πάντας τοὺς λαούς. Ἐντεῦθεν αἱ κατὰ τοῦ ἐθνισμοῦ ἀπολογίαι αὐτοῦ, πρὸς τῇ σπουδαιότητι

(¹) Ἐκκλ. ἱστορ. δ΄. 11. ἴδ. καὶ Τερτυλλ. adversus Valent. § 5. Τατιαν. λόγ. πρὸς ἕλλην. σελ. 259.
(²) Ἀνάγν. σλδ΄.

αὐτῶν ἐν τῇ χριστιανικῇ ἱστορίᾳ, διτηροῦσι καὶ τὴν ἀξίαν χριστιανικῆς Ἀπολογίας πάντων τῶν καιρῶν (*).

Τὰ συγγράμματα τοῦ ἁγίου Ἰουστίνου καὶ ἰδίως ὁ πρὸς Τρύφωνα διάλογος αὐτοῦ εἰσὶ πάνυ σπουδαῖα πρὸς μελέτην τῆς ἁγίας Γραφῆς.

Ὁ Ἰουστῖνος, ὢν οὕτως ἐγγὺς τῶν ἀποστολικῶν χρόνων, ἀναφέρει χωρία ἐκ τῶν τεσσάρων Εὐαγγελίων, ὡς θεοπνεύστων βι-

[*] Ἰδοὺ τίνα κρίσιν ἐκφέρει περὶ τοῦ Ἰουστίνου ὡς ἀπολογητοῦ ὁ πρώην καθηγητὴς τῆς Σορβώννης, νῦν δὲ ἐπίσκοπος Freppel: «Ces travaux, si nombreux et si variés, assignent à Saint Justin le premier renom parmi les apologistes du IIe siècle. Nul autre ne résume d'une manière plus complète le mouvement doctrinal et littéraire de l'époque au sein du Christianisme. Contemporain des pères apostoliques, il inaugure une nouvelle période dans l'histoire de l'éloquence sacrée, celle des luttes de la parole chrétienne avec le monde païen. Sa voix franchit le cercle des fidèles pour s'élever au milieu du paganisme et retentir jusqu au trône des Césars S'il n'a pu créer ce germe de discours qui a jeté tant d'éclat sur la litterature chrétienne, il lui a donné, par ses deux apologies, la forme qu'on a conservée dans la suite. Ses discours aux Grecs sont également le premier modèle de ces traités sur l'idololâtrie et le polythéisme que nous rencontrons plus tard. Dans cette partie la plus importante de sa tâche, Saint Justin a su frayer une voie large et sûre; soit qu'il attaque les religions de l'antiqnité, soit qu'il défende le christianisme. Sa réfutation de l'idololâtrie est une critique vive et animée qui n'embrasse pas le polythéisme antique sur tous ses aspects, bien qu'elle en dévoile les principales erreurs . . . . . L'apologétique chrétienne n'a fait que développer depuis lors ces moyens de défense indiquès par Saint Justin. Il en est de même des droits de la conscience et de la verité que ce grand homme revendique et formule en face d'une légalité arbitraire ou d'une procédure inique. Tertullien et Origéne se borneront à éclaircir ce point juridique défini par le premier des apologistes chrétiens. En fin, sa controverse avec les Juifs détermine le terrain et les armes qu'il convient de choisir pour triompher dans cette lutte qui s'est prolongée jusqu'à nos jours . . .» (Les apol. Chrétiens au II. siècle S. Iustin, pag 441—442). Σ. Μ.

6λίων. Τοῦτό ἐστι πάνυ σπουδαῖον πρὸς πληροφορίαν τῶν μετὰ ταῦτα χρόνων περὶ τῶν εὐαγγελικῶν συγγραμμάτων (1). Ἦν αὐτῷ γνωστὴ ἡ πρὸς Κορινθ. πρώτη ἐπιστολή (2). Ποιεῖται λόγον περὶ τῆς Ἀποκαλύψεως, ἧς συγγραφέα καλεῖ τὸν Ἀπόστ. Ἰωάννην (3).

Τὸ ἑλληνικὸν κείμενον τῆς Παλαιᾶς Διαθήκης, ᾧπερ ἐχρῆτο ὁ Ἰουστῖνος, ὁτὲ μὲν ὁμοιάζει τῷ ἑβραϊκῷ πρωτοτύπῳ καὶ νῦν ἀπαντᾷ μόνον ἔν τισιν ἑλληνικοῖς ἀντιγράφοις τῆς Παλαιᾶς Διαθήκης, ὁτὲ δέ, κατὰ πάντα σύμφωνον ὂν τῷ ἑβραϊκῷ, τέλεον διαφέρει τῶν ἀπογράφων τῶν Ο, καὶ ὁμοιάζει τῷ κειμένῳ τοῦ Θεοδοτίωνος καὶ Συμμάχου. Ἐκ τούτου ἐξάγεται, ὅτι ὁ ἅγιος Ἰουστῖνος, ἀγνοῶν τὴν ἑβραϊκήν, ἐχρῆτο ἀρχαίᾳ τινὶ χριστιανικῇ μεταφράσει τῆς Π. Δ., ᾗ ἐχρήσαντο ἔπειτα ὅτε Θεοδοτίων καὶ ὁ Σύμμαχος (4) [*].

(1) Παράβλ. Ματθ. γ΄. 11. Διάλ. σελ. 268 καὶ 316. Ματθ. ιά. 12-25. Διάλ· σελ. 271, 301, 399. Λουκ. ά. 37. Διάλ. σελ. 327. Ματθ. ε΄. 20. Διάλ. σελ. 333. Ματθ. ζ΄. 19, 21.—Ἀπολ. Β΄. σ. 64. Ματθ· ά. 21. Ἀπολ. Β΄. σελ. 75. Ματθ. θ΄. 13. Ἀπολ. Β΄. σ. 62. Ματθ. ιά. 27. αὐτόθ. σ. 95. Διάλ. σ. 336. Λουκ. Θ΄. 22. ί. 19, 22, 41. Διάλ. σ. 302, 327, 331, 337. Ματθ. κά. 13. Διάλ. σελ. 325. Μάρκ. γ΄. 17-22, 30. Ἀπολ. σ. 63. Διάλ. σ. 333.— Ἰωάν. γ΄. 4, 5, ά. 40. δ΄. 10.—Ἀπολ. Ά. σ. 89. Διάλ. 316, 342 κτλ. Αἱ εὐαγγελικαὶ διηγήσεις περὶ θαυμάτων ἦσαν γνωσταὶ καὶ τῷ Τρύφωνι. Διάλ. § 10. Ἴδ. Winer. Iustinum M. Evangeliis canonicis usnm fuisse jeane, 1819. Zarstav. de lustini M. Biblicis studiis, Wratis laniæ, 1832.

(2) Παραίν. §. 35.

(3) Διάλ. § 28, 81.

(4) Χωρία τῆς Π. Δ. παρὰ τῷ Ἰουστίνῳ ὅμοια πρὸς τὸ ἑβραϊκὸν κείμενον ἐν Βασ. Ά. ιζ΄. 14. Ἡσ. γ΄. 12.

(*) Κατὰ τὸν ἀείμνηστον Οἰκονόμον, ὁ ἅγιος Ἰουστῖνος «πάσας τὰς πολυπληθεστάτας ῥήσεις καὶ περικοπὰς τῶν Προφητῶν ἐξέφερεν ἐκ τῶν Ο, ὡς τοῦ Θείου Πνεύματος φωνάς, ἔν τε τοῖς ἄλλοις αὐτοῦ βιβλίοις, κἂν τῷ πρὸς τὸν Ἰουδαῖον Τρύφωνα διαλόγῳ, μηδ' αὐτὸν ἀντιλέγοντα πρὸς τὸ τῶν Ο, κῦρος, εἰμὴ περί τινας ὑπὸ τῶν τότε Ραββίνων διαστρεβλουμένας λέξεις (ὡς περὶ τοῦ «*ἰδοὺ ἡ Παρθένος*») . . . Ἄδηλον δὲ καὶ εἴπερ Ἰουστῖνος ἀνέγνω τὴν Ἀκύλα ἑρμηνείαν· (οὐδαμοῦ γὰρ αὐτὸν μνημονεύει· τὴν δὲ τοῦ, *ἰδοὺ ἡ παρθένος*, εἰς τό, *ἰδοὺ ἡ νεᾶνις* παρερμηνείαν εἰς τοὺς τότε διδασκάλους, ἤτοι τοὺς Ραββίνους τῶν Ἰουδαίων ἀναφέρει). Τὴν γνώμην, ὅτι ὁ Ἰουστῖνος ἦν ἀμαθὴς τῆς ἑβραΐδος γλώσσης ἀναιρεῖ ὁ ὀρθοδοξότατος καὶ σοφώτατος διδάσκαλος (περὶ τῶν Ο, ἑρμην. τῆς Π. Θ Γ. Τομ. Δ. σελ 423—25). Σ. Μ.

Ἐντεῦθεν ἐννοεῖται, ὅτι, εἰ Ἰουστῖνος πολλάκις ἐνεκώμιαζε τὴν μετάφρασιν τῶν Ο, καὶ ἐμέμφετο τοὺς Ἰουδαίους ὡς διαφθείροντας τὸ ἑβραϊκὸν κείμενον, τοῦτο οὐ δηλοῖ, ὅτι παρεδέχετο ἀναντίρρητον τὴν σπουδαιότητα τῆς τῶν Ο μεταφράσεως. Ὁ Ἰουστῖνος ἐποιεῖτο λόγον παντὸς ἄλλου ἐκτενέστερον περὶ τῆς ἀξίας τῆς μεταφράσεως ταύτης, διότι οἱ Ἰουδαῖοι ἀπὸ τῆς ἐξ Ἱερουσαλὴμ ἐκδιώξεως αὐτῶν, καταφρονοῦντες πάντων τῶν ἑλληνικῶν, ἀδίκως κατεφρόνουν καὶ τῆς μεταφράσεως τῶν Ο, ἐκδηλοῦντες τὴν πρὸς τὸν χριστιανισμὸν ψυχρότητα αὐτῶν ταῖς λέξεσιν: «οὐχ οὕτως ἐν τῷ ἑβραϊκῷ». Τὰ ὑπὸ τοῦ Ἰουστίνου λεγόμενα περὶ τῆς τῶν Ο μεταφράσεως, εἰ καί τινας περιέχουσιν ἀντιφάσεις, ὅμως συμφωνοῦσιν ἐν πολλοῖς πρὸς τὰς διηγήσεις τοῦ Ἰωσήπου καὶ τοῦ Φίλωνος (¹). Οὐδεμία ἀμφιβολία, ὅτι μεγάλαι ἦσαν ἡ τόλμη καὶ ἡ μοχθηρία τῶν συγχρόνων τῷ Ἰουστίνῳ Ἰουδαίων· ἀλλ' ὁμολογητέον, ὅτι καὶ αἱ κατηγορίαι τοῦ Ἰουστίνου ἐπὶ διαφθορᾷ τοῦ ἑβραϊκοῦ κειμένου οὐκ εἰσὶν ἅπασαι ἀξιόπιστοι, ἐκφερόμεναι ἔσθ' ὅτε ἄνευ αὐστηρᾶς ἐξετάσεως (²).

Ἐξαιρέτως κρίνει ὁ ἅγιος Ἰουστῖνος περὶ τῆς θεοπνευστίας τῶν Προφητῶν καὶ τῶν συγγραφέων τοῦ ἱεροῦ κανόνος (³). «Οὐ τολμήσω τοῦτο (τὸ ἐναντίας εἶναι τὰς Γραφὰς ἀλλήλαις) ποτὲ ἢ ἐνθυμηθῆναι, ἢ εἰπεῖν· ἀλλ' ἐὰν τοιαύτη τις δοκοῦσα εἶναι Γραφὴ προσβληθῇ, καὶ πρόφασιν ἔχῃ ὡς ἐναντία οὖσα, ἐκ παντὸς πεπεισμένος, ὅτι οὐδεμία Γραφὴ τῇ ἑτέρᾳ ἐναντία ἐστίν,

---

(¹) Ἴδ. παραινετ. λόγ. σελ. 13. Διάλ. § 68. Ἀπολ. σελ. 72.

(²) π. χ. λέγει, ὅτι οἱ Ἰουδαῖοι ἐξέκοψαν λέξεις τινας ἐκ τοῦ βιβλίου τοῦ Ἔσδρα, ἔνθα γίγνεται λόγος περὶ τοῦ νόμου τοῦ Πάσχα, καὶ ἀναφέρει αὐτάς. Ἀλλ' ὁ Ἔσδρας οὐκ ἔγραψε τοιαύτας λέξεις, οἵας ἀποδίδωσιν αὐτῷ ὁ Ἰουστῖνος. [Καὶ ἐκ τῶν νεωτέρων δέ τινες, σημειοῖ Οἰκονόμος ὁ πάνυ, ὡς γνήσιον θεωροῦσι τὸ τοῦ Ἔσδρα χωρίον, καὶ πρὸς τοῦτο, λέγουσιν, ἀποβλέπει τὸ τοῦ Ἀποστόλου (Α'. Κορ. έ. 7) «τὸ Πάσχα ὑπὲρ ὑμῶν ἐτύθη Χριστός» (Βλ. Colomes. Observ. Sacr. p. 149. πρβλ. καὶ Cudworth de vera notion. Coen. Domin. c. 2. p. 16). Σ. Μ.]

(³) Παραινετ. § 8. Ἀπολ. Α'. 31.

αὐτὸς μὴ νοεῖν μᾶλλον ὁμολογήσω τὰ εἰρημένα, καὶ τοὺς ἐναντίας τὰς Γραφὰς ὑπολαμβάνοντας, τὸ αὐτὸ φρονεῖν μᾶλλον πεῖσαι ἀγωνίσομαι». Τοιαύτη τοῦ φιλοσόφου ἀπόφανσίς ἐστι λίαν διδακτική·

Ἐν τῷ πρὸς Τρύφωνα διαλόγῳ ὁ ἅγιος Ἰουστῖνος πρῶτος τῶν χριστιανῶν διδασκάλων συνέλεξε καὶ διεσάφησε τὰς προφητείας καὶ τὰ σύμβολα περί τε τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῆς χριστιανικῆς Ἐκκλησίας. Ἐκ πρώτης ὄψεως φαίνεται, ὅτι λαμβάνονται χωρία τινα ὡς προφητικά, καίτοι αὐστηρῶς ἐξεταζόμενα οὐκ ἔχουσι τοιαύτην σημασίαν· διὰ τὸ ἔργον δὲ τοῦ Ἀπολογητοῦ ἀρκετὸν καὶ τοῦτο, ὅτι ἡ σύγχρονος αὐτῷ ραββινικὴ σοφία οὐκ ἦν ἐναντία τῇ τοιαύτῃ ἑρμηνείᾳ, οὐ μὴν ἀλλὰ πολλὰ χωρία τῆς παλαιᾶς Διαθήκης ἐξαιρέτως ἐνοήθησαν καὶ διασαφηνίσθησαν ὑπὸ τοῦ ἁγίου Ἰουστίνου.

Διὰ τὴν περὶ τῆς πίστεως διδασκαλίαν τὰ συγγράμματα τοῦ ἁγίου Ἰουστίνου περιέχουσιν ἐξαίρετα μαθήματα. Τοῦτο δὲ συμβαίνει διότι ἦν ὑπόχρεως ὑπερασπίζειν πολλὰ δόγματα κατὰ τῶν στρεβλῶν ἑρμηνειῶν τῶν ἐθνικῶν καὶ Ἰουδαίων.

«Ἐνθένδε, λέγει ἀνασκευάζων τὴν ἐπὶ ἀθεΐᾳ κατηγορίαν, καὶ ἄθεοι κεκλήμεθα. Καὶ ὁμολογοῦμεν τῶν τοιούτων νομιζομένων θεῶν ἄθεοι εἶναι, ἀλλ᾽ οὐχὶ τοῦ ἀληθεστάτου, καὶ πατρὸς δικαιοσύνης καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν, ἀνεπιμίκτου τε κακίας Θεοῦ· ἀλλ᾽ ἐκεῖνόν τε καὶ τὸν παρ᾽ Αὐτοῦ ἐλθόντα καὶ διδάξαντα ἡμᾶς ταῦτα . . . Πνεῦμά τε τὸ προφητικὸν σεβόμεθα καὶ προσκυνοῦμεν . . .» [1]. «Ἄθεοι μὲν οὖν ὡς οὐκ ἐσμέν, τὸν Δημιουργὸν τοῦδε τοῦ παντὸς σεβόμενοι, ἀνενδεῆ αἱμάτων καὶ σπονδῶν καὶ θυμιαμάτων, ὡς ἐδιδάχθημεν λέγοντες, λόγῳ εὐχῆς καὶ εὐχαριστίας ἐφ᾽ οἷς προσφερόμεθα πᾶσιν, ὅση δύναμις αἰνοῦντες . . . τὸν διδάσκαλόν τε τούτων γενόμενον ἡμῖν, καὶ εἰς τοῦτο γεννηθέτα Ἰησοῦν Χριστὸν τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου τοῦ γενομένου ἐν Ἰουδαίᾳ ἐπὶ χρόνους Τιβερίου Καίσαρος ἐπιτρό-

[1] Ἀπολ. Ά. 6.

που, Υἱὸν Αὐτοῦ τοῦ ὄντως Θεοῦ μαθόντες, καὶ ἐν δευτέρᾳ χώρᾳ ἔχοντες, Πνεῦμά τε Προφητικὸν ἐν τρίτῃ τάξει, ὅτι μετὰ λόγου τιμῶμεν, ἀποδείξομεν . . .» (1). «Ἐπ' ὀνόματι τοῦ Πατρὸς τῶν ὅλων καὶ Δεσπότου Θεοῦ, καὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ Πνεύματος ἁγίου, τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦντας (οἱ εἰς Χριστὸν πιστεύσαντες)» (2).

Ἰδίως δὲ σαφὴς καὶ ἀκριβής ἐστιν ἡ διδασκαλία τοῦ Ἰουστίνου περὶ τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ. Κατὰ τοὺς λόγους αὐτοῦ ὁ Υἱὸς τοῦ Θεοῦ κυρίως μόνος ἐγεννήθη ἐκ τοῦ Θεοῦ, ἐστὶ Λόγος αὐτοῦ, πρωτότοκος —καὶ δύναμις (3). Λόγος ὑπάρχων μετ' αὐτοῦ πρὸ τῆς Δημιουργίας (4). Κύριος καὶ Θεός (5). Δημιουργὸς καὶ Κυβερνήτης τοῦ κόσμου (6).

Ὁ Ἰουστῖνος παρεδέχετο τοὺς ἀγγέλους ὡς προσωπικὰ ὄντα μετ' ἐλευθέρας θελήσεως(7), ἀλλὰ παρασύρεται ὑπὸ τῆς δοξασίας τοῦ καιροῦ περὶ τῆς πτώσεως τῶν πνευμάτων.

Τὴν γενικὴν τῶν ἀνθρώπων διαφθορὰν ἡγεῖται ἐπακολούθημα τῆς ἐξ ἁμαρτωλῶν γονέων γεννήσεως: «ἐπειδὴ τὴν πρώτην γέ-

(1) Αὐτόθ. 13.

(2) Αὐτόθ. § 61.

(3) Ἀπολ. Α'. κεφ. 22. σελ. 67. κεφάλ. 21. σελ. 66. κεφ. 23. σελ. 68. κεφ. 33. σελ. 75. κεφ. 46. σελ. 83. Διάλ. κεφ. 100. σελ. 326. κεφ. 105. σελ. 332. κεφ. 48. σελ. 267. Ἀπολ. Ά. κεφ. 22. σελ. 67. Ἀπολ. Β'. κεφ. 6. σελ. 44. Ἀπολ. Ά. κεφ. 23. σελ. 68.

(4) Διάλ. κεφ. 125. σελ. 354. Ἀπολ. Ά. κεφ. 63. σελ. 96.

(5) Διάλ. κεφ. 56. σελ. 279. Ά. κεφ. 58. σελ. 280. Παρ. κεφ. 73. σελ. 298.

(6). Ἀπολ. κεφ. 6. 13.

(7) Διάλ. πρὸς Τρύφ. κεφ. 88. «Βουλόμενος γὰρ τούτους ἐν ἐλευθέρᾳ προαιρέσει καὶ αὐτεξουσίους γενομένους, τούς τε ἀγγέλους καὶ τοὺς ἀνθρώπους, ὁ Θεὸς πράττειν, ὅσα ἕκαστον ἐνεδυνάμωσε, δύνασθαι ποιεῖν, ἐποίησε». [Ἐν τῷ αὐτῷ διάλ. § 141. σ. 370. λέγει: βουλόμενος τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους, ἕπεσθαι τῇ βουλῇ αὐτοῦ ὁ Θεός, ἐβουλήθη ποιῆσαι τούτους αὐτεξουσίους πρὸς δικαιοπραξίαν μὲ τὰ λόγου τοῦ ἐπίστασθαι αὐτούς, ὑφ' οὗ γεγόνασι κτλ.» καλεῖ αὐτοὺς ἀθανάτους: «Ἀλλ' ὅτι μὲν οὖν εἰσιν ἄγγελοι, καὶ ἀεὶ μένοντες καὶ μὴ ἀναλυόμενοι εἰς ἐκεῖνο, ἐξ οὗ πῦρ γεγόνασιν, ἀποδέδεικται» (αὐτόθ. § 128.) διαστέλλει τοὺς ἀγαθοὺς ἀγγέλους ἀπὸ τῶν πονηρῶν (Ἀπολ. Α'. κεφ. 28.) Σ. Μ.].

νεσιν ἡμῶν ἀγνοοῦντες, κατ᾽ ἀνάγκην γεγεννήμεθα ἐξ ὑγρᾶς σπορᾶς κατὰ μίξιν τὴν τῶν γονέων πρὸς ἀλλήλους, καὶ ἐν ἔθεσι φαύλοις καὶ πονηραῖς ἀναστροφαῖς γεγόναμεν . . . τὸ τοῦ Πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ ὄνομα, αὐτὸ τοῦτο μόνον ἐπιλέγοντες, τοῦτον λουσόμενον ἄγοντες ἐπὶ τὸ λουτρόν» (1). Ὁ ἅγιος Ἰουστῖνος ποιεῖται λόγον καὶ περὶ τῆς ἱστορικῆς ἀρχῆς τῆς ἁμαρτίας ἀπὸ τῶν πρώτων ἀνθρώπων (2).

Ἐντεῦθεν ἐξάγει καὶ τὴν ἀνάγκην τοῦ Λυτρωτοῦ, ἐν ᾧ δείκνυσι τὸν μόνον Φωτιστὴν τοῦ κόσμου (3), τὸν αἰώνιον Ἱερέα, τὸν προσενεγκόντα ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων (4), καὶ τὸν ἀληθῆ Βασιλέα, ὅς, νικήσας πάντας τοὺς ἐχθροὺς τοῦ Θεοῦ, ἀνοίξει τὴν αἰώνιον βασιλείαν (5).

Σαφὴς καὶ ἀκριβής ἐστιν ἡ διδασκαλία αὐτοῦ περὶ τοῦ μυστηρίου τοῦ Βαπτίσματος καὶ τῆς Εὐχαριστίας (6).

Ἡ τελευταία τοῦ κόσμου τύχη διασαφηνίζεται ὑπὸ τοῦ ἁγίου Ἰουστίνου ἐν λεπτομερείᾳ (7). Οὐκ ἦν δ᾽ ἀπηλλαγμένος τῆς συγχρόνου αὐτῷ ἰδέας περὶ τῆς χιλιετοῦς βασιλείας τοῦ Μεσσίου (8). Ἐξαίρετός ἐστιν ἡ περὶ ἀθανασίας τῆς ψυχῆς διδασκαλία αὐτοῦ. «Εἴ τις ὑμῖν μὴ οὖσι τοιούτοις, μηδὲ τοιούτων, ἔλεγε τὸ σπέρμα τὸ ἀνθρώπειον δεικνύς, καὶ εἰκόνα γραπτήν, ἐκ τοῦ τοιοῦδε οἷόν τε γενέσθαι διαβεβαιούμενος, πρὶν ἰδεῖν γενόμενον, ἐπιστεύσατε; Οὐκ ἄν τις τολμήσειεν ἀντειπεῖν. Τὸν αὐτὸν οὖν τρόπον, διὰ τὸ μήπω ἑωρακέναι ὑμᾶς ἀναστάντα νεκρόν, ἀπιστία ἔχει. Ἀλλ᾽ ὃν τρόπον τὴν ἀρχὴν οὐκ ἂν ἐπιστεύσατε· ἐκ τῆς μικρᾶς ρανίδος δυνατὸν τοιούτους γενέσθαι, καὶ ὁρᾶτε γενομένους· τὸν αὐτὸν τρόπον λογίσασθαι, ὅτι διαλυθέντα καὶ δίκην σπερμάτων εἰς γῆν διαλυθέντα τὰ ἀνθρώπινα σώματα, κατὰ καιρὸν προστάξει Θεοῦ ἀναστῆναι, καὶ ἀφθαρσίαν ἐνδύ-

(1) Ἀπολ. Α΄. § 61 πρβλ. Διάλ. § 23, 94.
(2) Διάλ. πρὸς Τρύφ. § 88. σελ. 315. § 140 σελ. 370.
(3) Διάλ. § 74.
(4) Διάλ. § 94, 95-105. Ἀπολ. Α΄. 50.
(5) Ἀπολ. Α΄. §. 50.
(6) Ἀπολ. Α΄. 61, 65, 66. Διάλ. 41, 117.
(7) Διάλ. 39, 49, 80. Ἀπολ. Α΄. 8, 12. Β΄. 2, 10.
(8) Διάλ. 30, 81, 139.

σασθαι, οὐκ ἀδύνατον. Ποίαν γὰρ ἀξίαν Θεοῦ δύναμιν λέγουσιν οἱ φάσκοντες εἰς ἐκεῖνο χωρεῖν ἕκαστον, ἐξ οὗπερ ἐγένετο, καὶ παρὰ ταῦτα μηδὲν ἄλλο δύνασθαι μηδὲ τὸν Θεόν, οὐκ ἔχομεν λέγειν . . .» ([1]).

§ 41. *Ὁ ἅγιος Θεόφιλος ὁ Ἀντιοχείας.*

Ὁ ἅγιος Θεόφιλος, ὁ Ἀντιοχείας ἐπίσκοπος, προσεγγίζει τῷ Ἰουστίνῳ κατὰ τὸ πνεῦμα. Γεννηθεὶς ἐν τῷ ἐθνισμῷ, ἔλαβε τὴν εὐρεῖαν ἐκπαίδευσιν ἐκείνου τοῦ χρόνου, τὴν δὲ ἀλήθειαν ἔμαθεν ἐκ τῆς ἁγίας Γραφῆς. «Μὴ οὖν ἀπίστει, γράφει πρὸς τὸν Αὐτόλυκον, ἀλλὰ πίστευε· καὶ γὰρ ἐγὼ ἠπίστουν τοῦτο ἔσεσθαι, ἀλλὰ νῦν κατανοήσας αὐτά, πιστεύω, ἅμα καὶ ἐπιτυχὼν ἱεραῖς Γραφαῖς τῶν ἁγίων Προφητῶν, οἳ καὶ προεῖπον διὰ Πνεύματος Θεοῦ τὰ προγεγονότα ᾧ τρόπῳ γέγονε, καὶ τὰ ἐνεστῶτα τίνι τρόπῳ γίνεται, καὶ τὰ ἐπερχόμενα ποίᾳ τάξει ἀπαρτισθήσεται. Ἀπόδειξιν οὖν λαβὼν τῶν γινομένων καὶ προαναπεφωνημένων, οὐκ ἀπιστῶ, ἀλλὰ πιστεύω πειθαρχῶν Θεῷ» ([2]).

Μετὰ τὸν θάνατον τοῦ Ἔρωτος — πέμπτου ἐπισκόπου Ἀντιοχείας, ὁ ἅγιος Θεόφιλος ἀνέβη (τῷ 168) ἐπὶ τὸν θρόνον τῆς Ἀντιοχείας ([3]).

Ἡ ποιμαντορικὴ αὐτοῦ διακονία ἦν πλήρης πολλῶν μόχθων καὶ

([1]) Ἀπολ. Ά. §. 19. [Ἐν τῷ *περὶ ἀναστάσεως* βιβλίῳ λέγει: «Τὴν — ἐξ ἀλλήλων γένεσιν κατανοοῦσίν ἐστιν ἰδεῖν καὶ θαυμάσαι μειζόνως, ὅτι ἐξ ἐλαχίστης ρανίδος ὑγροῦ τηλικοῦτον πλάσσεται ζῶον.» Ἴδε καὶ Διάλ. § 80. σελ, 306. § 5. σελ. 223. §. 105. σελ. 332. Ἀπολ. Ά. § 11. σελ. 58. Διάλ. §. 81. σελ. 308. Ἀπολ. Ά. § 52. σελ. 87. §. 18. σελ. 65. περὶ ἀναστάσ. § 3. Διάλ. § 69. σελ. 296. περὶ ἀναστ. § 2, 7, 5. Ἀπολ. Ά. §. 18. σελ. 65. § 19. σελ. περὶ ἀναστ. § 5. § 4, 7, 8, 9. Διάλ. § 80. σελ. 307. § 81. σλε. 308. Ἀπολ. Ά. § 52. σελ. . . . . Σ. Μ].

([2]) Πρὸς Αὐτόλ. βιβλ. Ά. § 14.

([3]) Εὐσέβ. ἐκκλ. ἱστορ. δ'. 20. «Τηνικαῦτα καὶ ἐπὶ τῆς Ἀντιοχέων ἐκκλησίας Θεόφιλος ἕκτος ἀπὸ τῶν Ἀποστόλων ἐγνωρίζετο, τετάρτου μὲν τῶν ἐκεῖσε μετὰ Ἥρωνα καταστάντος Κορνηλίου, μετὰ δὲ αὐτὸν πέμπτῳ βαθμῷ τὴν ἐπισκοπὴν Ἔρωτος διαδεξαμένου». Hieron. de vir. illustr. c. 25. «Theophilus, Sextus Antiochensis Ecclesiae episcopus). epist. ad Algasiam, Quaest. VI.

θαυμαστοῦ ζήλου ὑπὲρ τῆς πίστεως. «Τῶν γε μὴν αἱρετικῶν οὐδὲν χεῖρον, λέγει ὁ Εὐσέβιος, καὶ τότε ζιζανίων δίκην λυμαινομένων τὸν εἰλικρινῆ τῆς ἀποστολικῆς διδασκαλίας σπόρον, οἱ πανταχόσε τῶν ἐκκλησιῶν ποιμένες ὥσπερ τινὰς θῆρας ἀγρίους τῶν Χριστοῦ προβάτων ἀποσοβοῦντες ἀνεῖργον,—τοτὲ μὲν ταῖς πρὸς τοὺς ἀδελφοὺς νουθεσίαις καὶ παραινέσεσι, τοτὲ δὲ πρὸς αὐτοὺς γυμνότερον ἀποδυόμενοι, ἀγράφοις τε εἰς πρόσωπον ζητήσεσι καὶ ἀνατροπαῖς, ἤδη δὲ καὶ δι' ἐγγράφων ὑπομνημάτων τὰς δόξας αὐτῶν ἀκριβεστάτοις ἐλέγχοις διευθύνοντες. Ὅ γε τοι Θεόφιλος σὺν τοῖς ἄλλοις κατὰ τούτων στρατευσάμενος δῆλός ἐστιν ἀπό τινος οὐκ ἀγενῶς αὐτῷ κατὰ Μαρκίωνος πεποιημένου λόγου» (1). Περαιτέρω λέγει ὁ αὐτὸς Εὐσέβιος, ὅτι ὁ Θεόφιλος ἔγραψε καὶ ἄλλο σύγγραμμα πρὸς τὴν αἵρεσιν τοῦ Ἑρμογένους τὴν ἐπιγραφὴν ἔχον, ἐν ᾧ ἐκ τῆς Ἀποκαλύψεως Ἰωάννου κέχρηται μαρτυρίαις (2). Ἐξ ἄλλων δὲ μαρτυριῶν δῆλον, ὅτι ὁ Θεόφιλος ἔγραψε προσέτι βραχείας μέν, ἀλλὰ ἐξαιρέτους ὁμιλίας πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας, ἄλλως—κατηχητικὰς διδασκαλίας (3). Αὐτὸς ὁ Θεόφιλος λέγει, ὅτι ἔγραψε: Γένεσιν κόσμου, ἔνθα ἐπραγματεύθη περὶ τῶν γενεαλογιῶν τῶν Πατριαρχῶν, περὶ τοῦ διαβόλου τοῦ πειράσαντος τὸν πρῶτον ἄνθρωπον καὶ περὶ τῆς οὐδενείας τῶν Θεῶν (4). Πρὸς δὲ τούτοις ἠσχολήθη περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς (5), καὶ τέλος ἐμόχθησεν ὑπὲρ τῆς ἐκπαιδεύσεως τῶν ἐθνικῶν.

(1) Ἐκκλ. ἱστορ. δ'. 24.

(2) Αὐτόθ.

(3) Hieron. «Theophilus sextus Antiochensis Ecclesiae episcopus, sub imperatore Marco Antonino Vero, librum contra Marcionem composuit, qui usque hodie extat; feruntur ejus ad Autolycum tria volumina et contra haeresin Hermogenis liber unus et alii breves eleganter tractatus ad aedificationem Ecclesiae pertinentes». de vir. illustr. C. XXV. Εὐσέβ. δ'. 24: «ἕτερά τινα κατηχητικὰ βιβλία».

(4) Πρὸς Αὐτόλ. βιβλ. β'. κεφ. 28-30. γ'. 19.

(5) Hieron. «Legi sub nomine ejus in Evangelium et in Provesbia Salomonis commentarios, qui mihi cum superiorum voluminum elegantia et phrasi non videntur congruere» (de vir. illustr. C. XXV.). Ἐν τῷ προλόγῳ τῆς ἑρμη-

Διῴκησε τὴν ἐκκλησίαν δεκατρία ἔτη, καὶ ἐξεδήμησε πρὸς Κύριον περὶ τὸ 181, ἐπιζήσας τῷ δεινῷ χρόνῳ τοῦ αὐτοκράτορος Μάρκου Αὐρηλίου ([1]).

§ 42. *Σύγγραμμα αὐτοῦ—βιβλίον περὶ πίστεως, ὑπόθεσις καὶ ἀξία αὐτοῦ.*

Ἐκ τῶν πολλῶν συγγραμμάτων τοῦ ἁγίου Θεοφίλου ([2]) διεσώθη μέχρις ἡμῶν τὸ περὶ πίστεως βιβλίον αὐτοῦ ([3]). Ἡ νῦν γνωστὴ ὑπὸ τὸ ὄνομα αὐτοῦ ἑρμηνεία εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου ([4]), περιέχουσα χωρία ἐκ τοῦ Κυπριανοῦ, τοῦ Ἱερωνύμου, καὶ ἄλλους ἀναχρονισμούς, ἄνευ ἀμφιβολίας οὐκ ἀποτελεῖ τὸ γνωστὸν τοῖς ἀρχαίοις ἐξηγητικὸν πόνημα τοῦ Θεοφίλου ([5]).

Ὁ Αὐτόλυκος, δι᾽ ὃν συνεγράφη ὑπὸ τοῦ ἁγίου ποιμένος τῆς Ἀντιοχείας τὸ περὶ πίστεως σύγγραμμα, ὡς δείκνυται ἐξ αὐτοῦ (βιβλ. γ΄. 4. 19.), ἦν σοφὸς ἐθνικός, ἠσχολεῖτο λίαν περὶ τὴν ἀνάγνωσιν βιβλίων, καί, ὡς φαίνεται, ἦν διοικητὴς πόλεως. Κατὰ τοὺς λόγους δὲ τοῦ Θεοφίλου, ἦν κατὰ μὲν τὰ ἄλλα δίκαιος καὶ σπουδαῖος, ἀλλ᾽ οὐκ ἠβούλετο ἀκούειν περὶ τῶν χριστιανῶν (βιβλ. Γ΄. 4. 31.), καὶ ἔψεγε τὴν διδασκαλίαν αὐτῶν (βιβλ. Β΄. § 1.).

νείας εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον λέγει, ὅτι ἐχρήσατο τῇ εἰς τὸν Ματθαῖον ἑρμηνείᾳ τοῦ ἁγίου Θεοφίλου. Ἐν δὲ τῇ ἐπιστολῇ ad Algasiam γράφει: «Theophilus . . . qui quatuor Evangelistarum libros in unum opus dicta compingens, ingenii sui nobis monumenta dimisit, haec super hac parabola in suis commentariis est locutus».

([1]) Ἐν τῷ τρίτῳ πρὸς Αὐτόλυκον βιβλίῳ λέγει, ὅτι ὁ Οὐῆρος (δηλ. Μάρκος Αὐρήλιος ὁ φιλόσοφος) διῴκει τὴν αὐτοκρατορίαν 19 ἔτη, καὶ ἐπομένως ἐπέζησε τῷ αὐτοκράτορι τούτῳ (τῷ 180). Ἡ μνήμη αὐτοῦ τῇ ς΄. Δεκεμβρίου.

([2]) Ἴδ. ἀνωτ. σημ. 5-7.

([3]) Ἄρισται ἐκδόσεις τοῦ περὶ πίστεως βιβλίου: S. Theophili liber de fide not. locupl. gr. lat ed. Wolf. Hamb. 1724, ἡ τοῦ Μαρανοῦ μετὰ τῶν συγγραμμάτων τοῦ ἁγίου Ἰουστίνου, Paris. 1742, καὶ ἡ τοῦ Γαλλανδίου ἐν τῷ Β΄. τόμῳ τῆς Βιβλ. τῶν Πατέρων.

([4]) Ἐξεδ. in Bibl. Patr. Colon. 1688. Sugd. 1677.

([5]) Ἴδ. ἀνωτ. σημ. 7.

Τὸ περὶ πίστεως σύγγραμμα ἐγράφη οὐχὶ ἀμέσως ἀλλὰ κατὰ μέρη. Ἐν τῇ ἀπὸ στόματος ὁμιλίᾳ τῇ γενομένῃ μετὰ τὸ παραλαβεῖν τὸν Αὐτόλυκον τὸ πρῶτον περὶ πίστεως βιβλίον, ὁ Θεόφιλος κατεπράϋνε τὴν ἰσχυρογνωμοσύνην αὐτοῦ κατὰ τῆς ἁγίας πίστεως, καὶ ἐκτήσατο τὴν ἐμπιστοσύνην αὐτοῦ (βιβλ. Β'. 1). Ἐν τῷ δευτέρῳ βιβλίῳ προσεκάλει πάλιν τὸν Αὐτόλυκον εἰς ὁμιλίας· ἐπειδὴ δὲ ἐν ταῖς νέαις ὁμιλίαις (βιβλ. Β'. 25.) ὁ Αὐτόλυκος ἐδήλου τὸ ἄκαμπτον αὐτοῦ πρὸς τὴν ἀλήθειαν τοῦ Χριστοῦ, πολὺν χρόνον μετὰ τοῦτο ἔπεμψεν αὐτῷ τὸ τρίτον μέρος, ὅπερ ἔχει καὶ ἰδίαν ἐπιγραφήν. Ἐντεῦθεν ὁ Λακτάντιος ποιεῖται λόγον περὶ τοῦ τελευταίου μέρους, ὡς περὶ ἰδιαιτέρου συγγράμματος: de Temporibus (¹).

Ἡ ὑπόθεσις τοῦ πρώτου βιβλίου ἐστὶν ἥδε: «εἰπὼν εἰς τί συνίσταντο αἱ μορφαὶ τοῦ ἐθνικοῦ, ἀποκρίνεται ἐξαιρέτως πρὸς τὴν ἀπαίτησιν αὐτοῦ: «Δεῖξόν μοι τὸν Θεόν σου . . .» «κἀγώ σοι εἴποιμι ἄν, δεῖξόν μοι τὸν ἄνθρωπόν σου, κἀγὼ σοὶ δείξω τὸν Θεόν μου. Ἐπεὶ δεῖξον βλέποντας τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς σου καὶ τὰ ὦτα τῆς καρδίας σου ἀκούοντα». Καὶ δεικνὺς τί ἐστιν ἀναγκαῖον πρὸς τὸ ὁρᾷν καὶ ἀκούειν τὰ ὑλικὰ ἀντικείμενα, λέγει: «Βλέπεται γὰρ Θεὸς τοῖς δυναμένοις αὐτὸν ὁρᾷν, ἐπὰν ἔχωσι τοὺς ὀφθαλμοὺς ἀνεῳγμένους τῆς ψυχῆς. Πάντες μὲν γὰρ ἔχουσι τοὺς ὀφθαλμούς, ἀλλὰ ἔνιοι ὑποκεχυμένους καὶ μὴ βλέποντας τὸ φῶς τοῦ Ἡλίου· καὶ οὐ παρὰ τὸ μὴ βλέπειν τοὺς τυφλούς, ἤδη καὶ οὐκ ἔτι τὸ φῶς τοῦ Ἡλίου φαῖνον· ἀλλ' ἑαυτοὺς αἰτιάσθωσαν οἱ τυφλοί, καὶ τοὺς ἑαυτῶν ὀφθαλμούς . . . Τοῖς γὰρ ταῦτα πράσσουσιν ὁ Θεὸς οὐκ ἐμφανίζεται, ἐὰν μὴ πρῶτον ἑαυτοὺς καθαρίσωσιν ἀπὸ παντὸς μολυσμοῦ. Καί σοι οὖν ἅπαντα ἐπισκοτεῖ, καθάπερ ὕλης ἐπιφορά, ἐπὰν γένηται τοῖς ὀφθαλμοῖς πρὸς τὸ μὴ δύνασθαι ἀτενίσαι τὸ φῶς τοῦ Ἡλίου· οὕτω καὶ σοί, ὦ ἄνθρωπε, ἐπισκοτοῦσιν αἱ ἀσέβειαι πρὸς τὸ μὴ δύνασθαί σε ὁρᾷν τὸν Θεόν» (1—4).

Ὁ ἐθνικὸς λέγει: «Σὺ ὁ βλέπων διήγησαί μοι τὸ εἶδος τοῦ Θεοῦ. Ὁ μαθητὴς τοῦ Χριστοῦ ἀποκρίνεται, ὅτι ὁ Θεός ἐστιν ακα-

(¹) De fals. relig. lib. I. c. 23.

τάληπτος καὶ ἀπερίγραπτος τῷ ἀνθρώπῳ, ὅτι ὁ ἄνθρωπος ὁρᾷ μόνον τὰς καταληπτὰς αὐτῷ ἰδιότητας τοῦ Θεοῦ· ἔπειτα περιγράφει τὰς ἰδιότητας Αὐτοῦ καὶ τὰ ἔργα ὡς Ποιητοῦ καὶ Προνοητοῦ (§5-10).

Ἐπειδὴ ὁ ἐθνικὸς διὰ τὴν τυφλότητα αὐτοῦ οὐχ᾽ ὁρᾷ τὸν Θεόν, ὁ χριστιανὸς διδάσκαλος συμβουλεύει αὐτῷ ζητῆσαι ἰατρόν, καὶ δείκνυσιν, ὅτι ὁ ἰατρὸς οὗτός ἐστιν ὁ Λόγος, ὑφ᾽ οὗ τὰ πάντα ἐδημιουργήθησαν· παραινεῖ αὐτὸν ἀφιερῶσαι ἑαυτὸν τῷ Λόγῳ, καὶ καταδείκνυσιν ὅσον φυσική ἐστι τῷ ἀνθρώπῳ ἡ πίστις. Ἔπειτα διέρχεται τὰ πλάσματα τῆς ἑλληνικῆς μυθολογίας, καὶ ἐρωτᾷ πῶς οἱ ἐθνικοί, οἱ οὐκ ἠρυθρίων πιστεύοντες εἰς τοιούτους λήρους, δύνανται χλευάζειν τὴν χριστιανικὴν θρησκείαν καὶ ἀρνεῖσθαι ἔτι τὴν εἰς αὐτὴν πίστιν. Αἱ περὶ τῆς σημασίας τοῦ ὀνόματος τοῦ χριστιανοῦ παρατηρήσεις αὐτοῦ εἰσιν ἀξιολογώταται. Ἐπειδὴ δὲ ὁ ἐθνικὸς εἶπεν, ὅτι παρεδέξατο ἂν τὴν ἀνάστασιν τῶν νεκρῶν, εἰ ἠδύνατό τις δεῖξαι αὐτῷ ἕνα μόνον ἐκ νεκρῶν ἐγερθέντα, ὁ Θεόφιλος ἀποκρίνεται αὐτῷ: «. . . Ἴσως καὶ ἐπιδείξω σοι νεκρὸν ἐγερθέντα καὶ ζῶντα, καὶ τοῦτο ἀπιστήσεις»· ἔπειτα ἀποδείκνυσιν αὐτῷ τὴν ἀνάστασιν τῶν νεκρῶν διὰ διαφόρων ἀναλογιῶν, ἃς παρέχει ἡ ζωὴ αὐτῆς τῆς φύσεως· παραινεῖ αὐτὸν διὰ τοῦ ἰδίου αὐτοῦ παραδείγματος πιστεύειν τὴν περὶ τούτου διδασκαλίαν τῆς ἁγίας Γραφῆς· παρακαλεῖ αὐτὸν ἀναγινώσκειν τὴν Γραφήν, ἐπαπειλῶν τοῖς μὴ πειθομένοις τῷ Θείῳ θελήματι τὸ ἀδέκαστον τοῦ Θεοῦ δικαστήριον (10—20).

Ἐν τῷ δευτέρῳ βιβλίῳ ὁ ἅγιος Θεόφιλος, κατὰ παράκλησιν τοῦ Αὐτολύκου διασαφηνίζει ἐν λεπτομερείᾳ τὸ ψευδὲς τῆς ἐθνικῆς θρησκείας. Παρατηρεῖ αὐτῷ, ὅτι γελοῖον ἡγεῖσθαι θεοὺς τὰ εἴδωλα, τὰ ὑπ᾽ ἀνθρώπων ποιηθέντα, καὶ ἄλογον θεοποιεῖν τοὺς ἀνθρώπους· δείκνυσιν, ὅτι αἱ ἀντιφάσκουσαι δοξασίαι τῶν φιλοσόφων οὐκ εἰσὶν ἀξιόπιστοι,—ὁ Θεὸς οὐκ ἔστι μεταβλητός· μέμφεται τὸ ψευδὲς τῶν θεογονιῶν—τῶν ποιητῶν· ἀναφέρει στίχους τοῦ Ἀράτου, οὗ ἓν ἡμιστίχιον ἐμνημόνευσεν ὁ Ἀπόστολος (Πράξ. ιζ´. 28.)· δείκνυσιν, ὅτι πᾶν, ὅ,τι καλὸν παρὰ τοῖς ἐθνικοῖς συγγραφεῦσι, συμφωνεῖ κατὰ πάντα τῇ διδασκαλίᾳ τῶν Προφητῶν, διότι οἱ Προφῆται, διδαχθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ καὶ τοῦ Δημιουργικοῦ Λόγου, καὶ ἡ Ἐκκλησία τοῦ Θεοῦ—εἰσιν ἐν πᾶσι πιστοὶ διδάσκαλοι. Λεπτομε-

ρῶς ἐξετάζει τὴν περὶ δημιουργίας τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου ἱστορίαν τοῦ Μωϋσέως, δεικνὺς τὸ σύμφωνον αὐτῆς πρὸς τὴν ὑγιᾶ κρίσιν τοῦ λογικοῦ, καὶ πρὸς τοῖς ἄλλοις σημειοῖ, ὅτι πάντες οἱ λαοὶ ἠρίθμουν τὸν χρόνον δι᾽ ἑβδομάδων, καίπερ ἀγνοοῦντες τὴν τούτου αἰτίαν. Ἐνταῦθα δὲ χρῆται τῇ λέξει Τριὰς ὡς πρὸς τὰ πρόσωπα τῆς Θεότητος: «αἱ τρεῖς ἡμέραι τῶν φωστήρων γεγονυῖαι, τύποι εἰσὶ τῆς Τριάδος, τοῦ Θεοῦ, καὶ τοῦ Λόγου Αὐτοῦ, καὶ τῆς Σοφίας (*) Αὐτοῦ». Ἐξετάζων τὴν ἱστορίαν τοῦ Μωϋσέως μέχρι τῆς διασπορᾶς τῶν ἐθνῶν, διασαφεῖ τὴν ἱστορίαν τοῦ ἀθώου καὶ τοῦ πεσόντος ἀνθρώπου, καὶ λύει διάφορα ζητήματα περὶ τῆς βίβλου τῆς Γενέσεως. «Ἀλλὰ φήσει οὖν τις ἡμῖν· θνητὸς φύσει ἐγένετο ὁ ἄνθρωπος; Οὐδαμῶς. Τί οὖν, ἀθάνατος; Οὐδὲ τοῦτό φαμεν. Ἀλλ᾽ ἐρεῖ τις: οὐδὲν οὖν ἐγένετο; Οὐδὲ τοῦτο, ἐγὼ μέν. Οὔτε οὖν φύσει θνητὸς ἐγένετο, οὔτε ἀθάνατος. Εἰ γὰρ ἀθάνατον αὐτὸν ἀπ᾽ ἀρχῆς ἐπεποιήκει, Θεὸν αὐτὸν ἐπεποιήκει. Πάλιν, εἰ θνητὸν αὐτὸν ἐπεποιήκει, ἐδόκει ἂν ὁ Θεὸς αἴτιος εἶναι τοῦ θανάτου αὐτοῦ. Οὔτε οὖν ἀθάνατον αὐτὸν ἐποίησεν, οὔτε μὴν θνητόν, ἀλλὰ καθὼς ἐπάνω προειρήκαμεν, δεκτικὸν ἀμφοτέρων· ἵνα ῥέφῃ (ἀναγνωστέον εἰ ῥέψῃ) ἐπὶ τὰ τῆς ἀθανασίας, τηρήσας τὴν ἐντολὴν τοῦ Θεοῦ, μισθὸν κομίσητε παρ᾽ αὐτοῦ τὴν ἀθανασίαν, καὶ γένηται Θεός· εἰ δ᾽ αὖ τραπῇ ἐπὶ τὰ τοῦ θανάτου πράγματα, παρακούσας τοῦ Θεοῦ, αὐτὸς ἑαυτῷ αἴτιος ᾖ τοῦ θανάτου» (1—36).

Ἐν τῷ τρίτῳ βιβλίῳ ὁ ἅγιος Θεόφιλος ἀνασκευάζει δύο κατὰ τῶν χριστιανῶν κατηγορίας, ἐξενεχθείσας ὑπὸ τοῦ Αὐτολύκου: ὅτι τὰ ἱερὰ αὐτῶν βιβλία εἰσὶ νέα, καὶ ὅτι ὁ βίος αὐτῶν ἐστὶ φαῦλος. Ἀνασκευάζων τὴν τελευταίαν δείκνυσι τῷ Αὐτολύκῳ, ὅτι τὴν φαυλοτάτην, τὴν ἀσχημονεστάτην ἠθικὴν ἐκήρυττον καὶ μετ᾽ ἀντιφάσεων πρὸς ἑαυτοὺς οἱ ἐθνικοὶ συγγραφεῖς· τοὐναντίον δὲ ἡ τῶν χρι-

(*) «Τὸν Υἱόν, λέγει ὁ κλεινὸς Καθηγητὴς Κ. Κοντογόνης, καλεῖ ὁ Θεόφιλος *Πνεῦμα Θεοῦ*, διότι ἠγάπων οἱ ἀρχαῖοι νὰ ἐκφράζωνται οὕτως, ὥστε ὁ Υἱὸς νὰ λέγηται Πνεῦμα τοῦ Πατρός, καὶ ἡ Θεία τοῦ Χριστοῦ φύσις *Πνεῦμα*· τὸ δὲ ἅγιον Πνεῦμα καλεῖ *Σοφίαν*· ὥστε τὰ τρία πρόσωπα τῆς ἁγίας Τριάδος εἶναι· *Θεός*, *Λόγος*, *Σοφία*», (Φιλολ. καὶ κριτ. ἱστορ. τῶν ἁγ. Πατ. Τόμ. Α΄. σελ. 257). Σ. Μ.

στιανῶν διδασκαλία κηρύττει τὴν ἁγνοτάτην καὶ ὑψίστην ἠθικήν, ἐντέλλεται τὴν ἀγάπην—καὶ δὴ πρὸς τοὺς ἐχθρούς, καὶ κατακρίνει τὴν ἀκαθαρσίαν καὶ ἐν αὐτοῖς τοῖς διαλογισμοῖς. Ἐν τῇ ἀνασκευῇ τῆς κατηγορίας, ὅτι τὰ βιβλία τῆς ἁγίας Γραφῆς εἰσι νέα, δείκνυσι δι' ἀκριβοῦς ἐρεύνης τῆς βιβλικῆς καὶ ἐθνικῆς χρονολογίας, ὅτι εἰσιν ἀρχαιότερα καὶ πιστότερα πάντων τῶν ἐθνικῶν βιβλίων. Ἐν τῷ ἐπιλόγῳ παραινεῖ αὐτὸν ἀναγνῶναι τὸ βιβλίον αὐτοῦ μετ' ἐπιστασίας καὶ ἀπαθῶς (1—13).

Τὸ περὶ πίστεως βιβλίον ἐστὶν ἓν τῶν ἀρίστων συγγραμμάτων τῆς ἀρχαιότητος. Δείκνυσιν, ὅτι ὁ συγγραφεὺς ἐγίνωσκεν ἀξιολογώτατα τοὺς ἐθνικοὺς φιλοσόφους καὶ ποιητάς. Αἱ ἰδέαι τοῦ συγγραφέως αὐτῆς εἰσιν ἀείποτε περιεσκεμμέναι καὶ οὐ συνήθεις· ἡ περὶ χριστιανικῆς διδασκαλίας θεωρία αὐτοῦ ἐστι βαθεῖα καὶ σαφής. Τὰ μυστήρια τοῦ χριστιανισμοῦ ἑρμηνεύει ὁ σοφὸς διδάσκαλος τῷ σοφῷ ἐθνικῷ κατὰ τὰς φιλοσοφικὰς ἀρχάς, καὶ σύναμα ὑποστηρίζει τὸ ἀξιόπιστον τῆς ἀποκεκαλυμμένης ἀληθείας. Ἅπαν τὸ σύγγραμμά ἐστι γεγραμμένον μετὰ ζωηρότητος καὶ ἐν πνεύματι πραείας ἀγάπης· ἡ λέξις ἐστὶν ὁμαλὴ καὶ ἡδεῖα. Ὁ ἅγιος Ἱερώνυμος λέγει, ὅτι τὸ σύγγραμμα τοῦτό ἐστιν ἄριστον κατὰ τὴν ἐξωτερικὴν ἐπεξεργασίαν.

Ὡς πρὸς τὴν ὑπόθεσιν αὐτοῦ, δῆλον, ὅτι ἐκτὸς τῆς ἀπολογητικῆς ἀξίας περιέχει πλεῖστα ὅσα ἀναγκαῖα διὰ τὴν περὶ τῶν δογμάτων τῆς πίστεως διδασκαλίαν, καὶ ἰδίως διὰ τὴν περὶ τοῦ Τριαδικοῦ τῶν προσώπων τῆς Θεότητος [1], περὶ τῆς δημιουργίας τοῦ

---

[1] Βιβλ. Β'. § 10. «Ἔχων οὖν ὁ Θεὸς τὸν ἑαυτοῦ Λόγον ἐνδιάθετον ἐν τοῖς ἰδίοις σπλάγχνοις, ἐγέννησεν αὐτὸν μετὰ τῆς ἑαυτοῦ Σοφίας, ἐξερευξάμενος πρὸ τῶν ὅλων»· αὐτόθ. «τοῦτον τὸν Λόγον ἔσχεν ὑπουργὸν τῶν ὑπ' αὐτοῦ γεγενημένων, καὶ δι' Αὐτοῦ τὰ πάντα πεποίηκεν. Οὗτος λέγεται ἀρχή, ὅτι ἄρχει καὶ κυριεύει πάντων τῶν δι' Αὐτοῦ δεδημιουργημένων». αὐτόθ. «Οὗτος οὖν ὢν πνεῦμα Θεοῦ, καὶ ἀρχή, καὶ σοφία, καὶ δύναμις Ὑψίστου, κατήρχετο εἰς τοὺς Προφήτας, καὶ δι' αὐτῶν ἐλάλει τὰ περὶ τῆς ποιήσεως τοῦ κόσμου καὶ τῶν λοιπῶν ἁπάντων· οὐ γὰρ ἦσαν οἱ Προφῆται, ὅτε ὁ κόσμος ἐγίνετο, ἀλλὰ ἡ Σοφία, ἡ ἐν αὐτῷ οὖσα, ἡ τοῦ Θεοῦ, καὶ ὁ Λόγος ὁ ἅγιος Αὐτοῦ, ὁ ἀεὶ συμπαρὼν Αὐτῷ·

κόσμου καὶ τοῦ ἀνθρώπου (¹), περὶ τῶν ἀποτελεσμάτων τῆς πτώσεως τοῦ ἀνθρώπου (²), περὶ τῆς σημασίας τῆς ἐκκλησίας τοῦ Χριστοῦ (³), καὶ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν (⁴).

διὸ δὴ καὶ διὰ Σολομῶντος προφήτου οὕτω λέγει: ἡνίκα δὴ ἡτοίμασε τὸν Οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα». αὐτόθ. κεφ. 15. «Ὡσαύτως καὶ αἱ τρεῖς ἡμέραι τῶν φωστήρων γεγονυῖαι, τύπος εἰσι τῆς Τριάδος, τοῦ Θεοῦ, καὶ τοῦ Λόγου Αὐτοῦ, καὶ τῆς Σοφίας Αὐτοῦ». Περὶ τοῦ Λόγου, ἢ τοῦ Υἱοῦ τοῦ Θεοῦ, λέγει ἐν τῷ κϐ΄. κεφαλαίῳ τάδε: «Ὁ δὲ Λόγος Αὐτοῦ, δι' οὗ τὰ πάντα πεποίηκε, δύναμις ὢν καὶ Σοφία Αὐτοῦ, ἀναλαμβάνων τὸ πρόσωπον τοῦ Πατρὸς καὶ Κυρίου τῶν ὅλων, οὗτος παρεγίνετο εἰς τὸν παράδεισον ἐν προσώπῳ τοῦ Θεοῦ, καὶ ὡμίλει τῷ Ἀδάμ· καὶ γὰρ αὐτὴ ἡ Θεία Γραφὴ διδάσκει ἡμᾶς τὸν Ἀδὰμ λέγοντα, τῆς φωνῆς ἀκηκοέναι· φωνὴ δὲ τί ἄλλο ἐστιν, ἀλλ' ἢ ὁ Λόγος ὁ τοῦ Θεοῦ, ὅς ἐστι καὶ Υἱὸς Αὐτοῦ, οὐχ ὡς οἱ ποιηταὶ καὶ μυθογράφοι λέγουσιν Υἱοὺς Θεῶν ἐκ συνουσίας γεγεννημένους, ἀλλ' ὡς ἀληθείᾳ διηγεῖται τὸν Λόγον, τὸν ὄντα διὰ παντὸς ἐνδιάθετον ἐν καρδίᾳ Θεοῦ· πρὸ γάρ τι γενέσθαι, τοῦτον εἶχε σύμβουλον, ἑαυτοῦ νοῦν καὶ φρόνησιν ὄντα· ὁπότε δὲ ἠθέλησεν ὁ Θεὸς ποιῆσαι ὁπόσα ἐβουλεύσατο, τοῦτον τὸν Λόγον ἐγέννησε προφορικόν, πρωτότοκον πάσης κτίσεως, οὐ κενωθεὶς αὐτὸς τοῦ Λόγου, ἀλλὰ Λόγον γεννήσας, καὶ τῷ Λόγῳ Αὐτοῦ διὰ παντὸς ὁμιλῶν. Ὅθεν διδάσκουσιν ἡμᾶς αἱ ἅγιαι Γραφαί, καὶ πάντες οἱ Πνευματοφόροι, ἐξ ὧν Ἰωάννης λέγει: Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· δεικνύς, ὅτι ἐν πρώτοις μόνος ἦν ὁ Θεός, καὶ ἐν Αὐτῷ ὁ Λόγος· ἔπειτα λέγει: καὶ Θεὸς ἦν ὁ Λόγος· πάντα δι' Αὐτοῦ ἐγένετο, καὶ χωρὶς Αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Θεὸς οὖν ὁ Λόγος, καὶ ἐκ Θεοῦ πεφυκώς, ὁπότ' ἂν βούληται ὁ Πατὴρ τῶν ὅλων, πέμπει Αὐτὸν εἴς τινα τόπον, ὃς παραγινόμενος, καὶ ἀκούεται καὶ ὁρᾶται, πεμπόμενος ὑπ' Αὐτοῦ, καὶ ἐν τόπῳ εὑρίσκεται». [Τὴν ἑρμηνείαν τῆς τελευταίας περικοπῆς βλ. ἐν τῷ Α΄. τόμ. σελ. 259 τῆς φιλολογ. καὶ κριτ. ἱστ. τῶν ἁγ. Π. τοῦ πολυσεβάστου Κ. Κοντογόνου: Σ. Μ.]

(¹) Βιϐλ. Β΄. 18, 24, 27, 28.

(²) Β. ϐλ. Α΄. 2, 5. βιϐλ. Β΄. 25, 27.

(³) Βιϐλ. ϐ΄. κεφ. 14. «Καθάπερ ἐν θαλάσσῃ νῆσοί εἰσιν, αἱ μὲν οἰκηταὶ καὶ εὔυδροι καὶ καρποφόροι, ἔχουσαι ὅρμους καὶ λιμένας, πρὸς τὸ τοὺς χειμαζομένους ἔχειν ἐν ἑαυτοῖς καταφυγάς· οὕτω δέδωκεν ὁ Θεὸς τῷ κόσμῳ, κυμαινομένῳ καὶ χειμαζομένῳ ὑπὸ τῶν ἁμαρτημάτων, τὰς συναγωγάς, λεγομένας ἐκκλησίας ἁ-

§ 43. *Μελίτων Σάρδεων ἐπίσκοπος.*

Εἷς τῶν λαμπροτάτων φωστήρων τῆς ἀνατολικῆς Ἐκκλησίας, τῶν κατὰ τὸν δεύτερον αἰῶνα ἀκμασάντων, ἐστὶ Μελίτων ὁ Σάρ-

---

γίας, ἐν αἷς, καθάπερ λιμέσιν εὐόρμοις ἐν νήσοις, αἱ διδασκαλίαι τῆς ἀληθείας εἰσι, πρὸς ἃς καταφεύγουσιν οἱ θέλοντες σώζεσθαι, ἐρασταὶ γινόμενοι τῆς ἀληθείας, καὶ βουλόμενοι ἐκφυγεῖν τὴν ὀργὴν καὶ κρίσιν τοῦ Θεοῦ· καὶ ὥσπερ αἱ νῆσοί εἰσιν ἕτεραι πετρώδεις, καὶ ἄνυδροι, καὶ ἄκαρποι, καὶ θηριώδεις, καὶ ἀοίκητοι, ἐπὶ βλάβῃ τῶν πλεόντων καὶ χειμαζομένων, ἐν αἷς τείρεται τὰ πλοῖα, καὶ ἐξαπόλλυνται ἐν αὐταῖς οἱ κατερχόμενοι· οὕτως εἰσιν αἱ διδασκαλίαι τῆς πλάνης, λέγω δὲ τῶν αἱρέσεων, αἳ ἐξαπολλύουσι τοὺς προσιόντας αὐταῖς· οὐ γὰρ ὁδηγοῦνται ὑπὸ τοῦ Λόγου τῆς ἀληθείας, ἀλλὰ καθάπερ πειραταί, ἐπὰν πληρώσωσι τὰς ναῦς, ἐπὶ τοὺς προειρημένους τόπους περιπείρουσιν, ὅπως ἐξαπολέσωσιν αὐτάς, οὕτω συμβαίνει καὶ τοῖς πλανωμένοις ἀπὸ τῆς ἀληθείας, ἐξαπόλλυσθαι ἀπὸ τῆς πλάνης».

(¹) Πρὸς Αὐτόλ. βιβλ. ά. κεφάλ. 13 καὶ 14. «Ἀλλὰ καὶ τὸ ἀρνεῖσθαί σε νεκροὺς ἐγείρεσθαι· φὴς γάρ: δεῖξόν μοι κἂν ἕνα ἐγερθέντα ἐκ νεκρῶν, ἵνα ἰδὼν πιστεύσω. Πρῶτον μέν, τί μέγα, εἰ θεασάμενος τὸ γεγονός, πιστεύεις; Εἶτα πιστεύεις μὲν Ἡρακλέα, καύσαντα ἑαυτόν, ζῆν· καὶ Ἀσκληπιόν, κεραυνωθέντα, ἐγηγέρθαι· τὰ δὲ ὑπὸ τοῦ Θεοῦ σου λεγόμενα ἀπιστεῖς; Ἴσως καὶ ἐπιδείξωσοι νεκρὸν ἐγερθέντα καὶ ζῶντα, καὶ τοῦτο ἀπιστήσεις. Ὁ μὲν οὖν Θεός σοι πολλὰ τεκμήρια ἐπιδείκνυσιν εἰς τὸ πιστεύειν αὐτῷ· εἰ γὰρ βούλει, κατανόησον τὴν τῶν καιρῶν καὶ ἡμερῶν καὶ νυκτῶν τελευτήν, πῶς καὶ αὐτὰ τελευτᾷ καὶ ἀνίσταται. Τί δὲ καὶ οὐχὶ ἡ τῶν σπερμάτων καὶ καρπῶν γινομένη ἐξανάστασις, καὶ τοῦτο εἰς τὴν χρῆσιν τῶν ἀνθρώπων; Εἰ γὰρ τύχοι εἰπεῖν, κόκκος σίτου, ἢ τῶν λοιπῶν σπερμάτων, ἐπὰν βληθῇ εἰς τὴν γῆν, πρῶτον ἀποθνήσκει καὶ λύεται, εἶτα ἐγείρεται καὶ γίνεται στάχυς. Ἡ δὲ τῶν δένδρων καὶ ἀκροδρύων φύσις, πῶς οὐχὶ κατὰ πρόσταγμα Θεοῦ ἐξ ἀφανοῦς καὶ ἀοράτου κατὰ καιροὺς προσφέρουσι τοὺς καρπούς; Ἔτι μὴν ἐνίοτε καὶ στρουθίον, ἢ τῶν λοιπῶν πετεινῶν, καὶ καταπιὸν σπέρμα μηλέας, ἢ συκῆς, ἤ τινος ἑτέρου, ἦλθεν ἐπί τινα λόφον πετρώδη, ἢ τάφον, καὶ ἀφώδευσε, κἀκεῖνο δραξάμενον ἀνέφου δένδρον, τὸ ποτὲ καταποθὲν καὶ διὰ τοσαύτης θερμανσίας διελθόν. Ταῦτα δὲ πάντα ἐνεργεῖ ἡ τοῦ Θεοῦ σοφία εἰς τὸ ἐπιδεῖξαι καὶ διὰ τούτων, ὅτι δυνατὸς ἐστιν ὁ Θεὸς ποιῆσαι τὴν καθολικὴν ἀνάστασιν ἁπάντων ἀνθρώπων. Εἰ δὲ

δεων (ἐν Λυδίᾳ). Πολυκράτης, ὁ ἐπίσκοπος Ἐφέσου, ἀποκαλεῖ αὐτὸν ἐν τῇ πρὸς τοὺς Δυτικοὺς ἐπιστολῇ αὑτοῦ ἄνδρα ἐν ἁγίῳ Πνεύματι πάντα πολιτευσάμενον([1]), κατὰ δὲ τὴν μαρτυρίαν τοῦ Τερτυλλιανοῦ ἐκάλουν αὐτὸν προφήτην([2]). Ἔτυχε δὲ εὐρείας ἐκπαιδεύσεως,—ῥητορικῆς ([3]), φιλοσοφικῆς, καὶ ἰδίως κατὰ τὰ ἀντικείμενα τῆς πίστεως([4]). Ἡ πρὸς τὰ μνημεῖα τῆς ἀποκεκαλυμμένης θρησκείας ἁγία ἀγάπη παρώρμησεν αὐτὸν ποιήσασθαι ὁδοιπορίαν κατὰ τὴν Ἀνατολήν: «Ἀνελθὼν εἰς τὴν Ἀνατολήν, καὶ ἕως τοῦ τόπου γενόμενος, ἔνθα ἐκηρύχθη καὶ ἐπράχθη, ἀκριβῶς μαθὼν τὰ τῆς Παλαιᾶς Διαθήκης βιβλία, ὑποτάξας, ἔπεμψά σοι....» Ἐπανελθὼν οἴκαδε μετὰ τῶν ἀπογράφων τῶν ἱερῶν βιβλίων, ἐποιήσατο ἐκλογὰς ἐκ τῆς ἁγίας Γραφῆς εἰς ἓξ βιβλία διελών, περὶ τοῦ Σωτῆρος καὶ πάσης τῆς πίστεως ἡμῶν([5]). Ἐπὶ τοῦ αὐτοκράτορος Μάρκου Αὐρηλίου, ὡς ποιμὴν τιμώμενος ὑπὸ τῶν ἐκκλησιῶν τῆς μικρᾶς Ἀσίας, κατέπαυσεν ἐν εὐαγγελικῷ πνεύματι

καὶ θαυμασιώτερον θέαμα θέλεις θεάσασθαι γινόμενον πρὸς ἀπόδειξιν ἀναστάσεως, οὐ μόνον τῶν ἐπιγείων πραγμάτων, ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ, κατανόησον τὴν ἀνάστασιν τῆς Σελήνης τὴν κατὰ μῆνα γινομένην, πῶς φθίνει, καὶ ἀνίσταται πάλιν. Ἔτι ἄκουσον καὶ ἐν σοὶ αὐτῷ ἔργον ἀναστάσεως γινόμενον, κἂν ἀγνοῇς, ὦ ἄνθρωπε· ἴσως γάρ ποτε νόσῳ περιπεσών, ἀπώλεσάς σου τὰς σάρκας, καὶ τὴν ἰσχὺν καὶ τὸ εἶδος· ἐλέους δὲ τυχὼν παρὰ Θεοῦ καὶ ἰάσεως, πάλιν ἀπέλαβές σου τὸ σῶμα, καὶ τὸ εἶδος, καὶ τὴν ἰσχύν· καὶ ὥσπερ οὐκ ἔγνως, ποῦ ἐπορεύθησάν σου αἱ σάρκες, ἀφανεῖς γενόμεναι, οὕτως οὐκ ἐπίσταται οὐδὲ πόθεν ἐγένοντο, ἢ πόθεν ἦλθον· ἀλλ' ἐρεῖς ἐκ τροφῶν καὶ χυμῶν, ἐξαιματουμένων καλῶς· ἀλλὰ καὶ τοῦτο ἔργον Θεοῦ, τοῦ οὕτω δημιουργήσαντος, καὶ οὐκ ἄλλου τινός. Μὴ οὖν ἀπίστει, ἀλλὰ πίστευε.....»

([1]) Εὐσέβ. ἐκκλ. ἱστορ ε. 24.

([2]) Παρὰ τῷ Ἱερωνύμῳ de vir. illustr. c. 24. «Hujus (Melitonis) elegans et declamatorium ingenium laudans Tertullianus in septem libris, quos scripsit adversus Ecclesiam pro Montano, dicit eum a plerisque nostrorum prophetam putari».

([3]) Hieron. ibid.

([4]) Τοῦτο δεικνῦσι τὰ συγγράμματα αὐτοῦ.

([5]) Εὐσέβ. ἐκκλ. ἱστορ. δ΄. 26.

τὴν περὶ τοῦ χρόνου τῆς ἑορτῆς τοῦ Πάσχα ἔριδα, τὴν ταράξασαν τὴν ἐκκλησίαν τῆς Λαοδικείας μετὰ τὸν θάνατον τοῦ ποιμένος αὐτῆς Σαγάρεως ([1]). Ὁ Εὐσέβιος γράφει ἐν τῷ χρονικῷ αὐτοῦ: «τῇ σλζ'. Ὀλυμπιάδι (169—172) Μελίτων Σαρδιανῶν ἐπίσκοπος τῆς Λυδίας βίβλον ἀπολογίας Ἀντωνίνῳ ὑπὲρ χριστιανῶν ἐπέδωκεν»([2]). Ἐκ τῆς λέξεως ἐ π έ δ ω κ ε ν ἐξάγεται, ὅτι ὁ ἅγιος ποιμὴν ἀπεδήμησεν εἰς Ῥώμην, ἵνα, ἐμφανισθεὶς τῷ αὐτοκράτορι, ἐγχειρίσῃ αὐτῷ τὴν Ἀπολογίαν. Τὴν ἀκάματον μέριμναν καὶ τὸν ἔμφρονα ζῆλον τοῦ ἁγίου Μελίτωνος περί τε τὴν πίστιν καὶ τὴν ἐκκλησίαν τοῦ Χριστοῦ δεικνῦσιν αὐτὰ τὰ συγγράμματα αὐτοῦ. Ὁ θεῖος οὗτος ἀνὴρ ἐξεδήμησε πρὸς Κύριον πιθανῶς τῷ ροζ'. σωτηρίῳ ἔτει ([3]), καὶ ἐτάφη ἐν Σάρδεσι «περιμένων, ὡς λέγει ὁ Πολυκράτης τὴν ἀπὸ τῶν νεκρῶν ἐπισκοπήν, ἐν ᾗ ἐκ νεκρῶν ἀναστήσεται»([4]).

§ 44. *Συγγράμματα αὐτοῦ· περὶ τοῦ Κανόνος, Κλείς.*

Τὰ πλεῖστα τῶν συγγραμμάτων τοῦ ἁγίου Μελίτωνος ἀπωλέσθησαν· ἀλλ' αἱ ἐπιγραφαὶ αὐτῶν, αἱ παρ' Εὐσεβίῳ καὶ ἄλλοις ([5]) φερόμεναι, δεικνῦσι τοὐλάχιστον τὰ ἀντικείμενα, περὶ ἃ ἠσχολήθη ὁ μέγας διδάσκαλος. Κατὰ τὰς ἐπιγραφὰς τῶν συγγραμμάτων, ἔστρεψε τὴν προσοχὴν αὐτοῦ α') εἰς τὴν ἁγίαν Γραφήν, καταλιπὼν κατάλογον τῶν κ α ν ο ν ι κ ῶ ν βιβλίων, καὶ συγγράμματα: π ε ρ ὶ π ο λ ι τ ε ί α ς κ α ὶ π ρ ο φ η τ ῶ ν, π ε ρ ὶ τ ῆ ς Ἀ π ο κ α λ ύ ψ ε ω ς Ἰω-

([1]) Εὐσέβ. ἐκκλ. ἱστορ. δ'. 26. ε'. 24. Ἴδ. Ruinart. Act. Martyr. sincera fol. 29. et in praef. pag. LXIV.

([2]) Χρον. Ὀλυμπ. σλζ'.

([3]) Ὁ Πολυκράτης ἐν τῇ πρὸς Βίκτωρα ἐπιστολῇ αὐτοῦ (Εὐσέβ. ἐκκλ. ἱστορ. ε'. 25). ἐποιήσατο μνείαν τοῦ Μελίτωνος, ὡς ἤδη τετελευτηκότος, ἀλλὰ μεταξὺ τῶν ἀποθανόντων τίθησιν αὐτὸν τελευταῖον, καὶ ἑπομένως ἐξεδήμησε πρὸς Κύριον οὐ πρὸ πολλοῦ. Ἡ ἐπιστολὴ ἐγράφη τῷ 196. Ἴδ. Ἐπιφ. αἱρ. ν'. § 9.

([4]) Εὐσέβ. ἐκκλησ. ἱστορ. ἐνθ. ἀνωτέρ.

([5]) Ὁ κατάλογος τῶν συγγραμμάτων τοῦ ἁγίου Μελίτωνος παρ' Εὐσεβίῳ ἐκκλ. ἱστορ. δ'. 26. Παρ' Ἱερων. de vir. illustr. c. 24. ep. 80. Παρὰ Νικηφ. ἐκκλ. ἱστορ. δ'. 10. παρ' Ἀναστασίῳ τῷ Σιναΐτῃ ἐν ὁδηγ. § 12. 13.

άνου, Κλεῖδα· β΄) ἔγραψεν ἀπολογίαν ὑπὲρ τοῦ χριστιανικοῦ δόγματος· γ΄) διὰ δὲ τὴν περὶ πίστεως διδασκαλίαν συνετάξατο: περὶ ἐκκλησίας, περὶ προφητείας, περὶ ὑπακοῆς πίστεως αἰσθητηρίων, περὶ ἀληθείας, συγγράμματα συγγραφέντα πιθανῶς κατὰ τοῦ Μοντανοῦ. Ἐν τῷ συγγράμματι περὶ ἐνσωμάτου Θεοῦ ἀναμφιβόλως οὐκ ἐκφέρεται ἡ ἔννοια, ὅτι ὁ Θεός ἐςιν ἐν σώματι, ἀλλὰ γίγνεται λόγος περὶ τοῦ ἐνανθρωπήσαντος Θεοῦ. Ἐν ἄλλῳ συγγράμματι ὁ ἅγιος Μελίτων λέγει ἀπ᾽ εὐθείας, ὅτι οὐ παραδεκτέον ἡμῖν κατὰ κυρίαν ἔννοιαν τοὺς λόγους τῆς ἁγίας Γραφῆς, ἐν οἷς παρίσταται ὁ Θεὸς ἔχων ἀνθρωπίνην μορφὴν καὶ μέλη σαρκικά[1]. Ἐντεῦθεν ἡ γνώμη τοῦ Ὠριγένους, ὅτι δῆθεν ἀπεδίδω ὁ Μελίτων τῷ Θεῷ σῶμα, οὐδόλως ἐστὶν ὀρθή, προερχομένη ἐκ τῆς πρὸς τὴν ἀλληγορίαν ὑπερβολικῆς αὐτοῦ ἀγάπης[2]. Τὰ ἄλλα δογματικὰ συγγράμματα τοῦ Μελίτωνος: Τὰ περὶ τοῦ Σωτῆρος καὶ πάσης τῆς πίστεως ἡμῶν, περὶ σαρκώσεως Χριστοῦ, περὶ κτίσεως [α] καὶ γενέσεως Χριστοῦ, ὁ λόγος εἰς τὸ πάθος τοῦ Χριστοῦ [β], περὶ ψυχῆς καὶ σώματος, περὶ πλάσεως, περὶ λουτροῦ (τουτ. βαπτίσματος) καὶ περὶ τοῦ διαβόλου, ἐγράφησαν βεβαίως κατὰ τῶν Μαρκι-

(1) Ἐν τῷ συγγράμματι: *Κλείς*, αἱ ἀνθρωπομορφιτικαὶ περιγραφαὶ τοῦ Θεοῦ ἡρμηνεύθησαν οὐκ ἐν τῇ κυρίᾳ ἐννοίᾳ. Ἴδ. Woogii de S. Melitone in Patrolog. V. 1225, 1226.

(2) Θεοδώρ. Ἐρώτ. εἰς τὴν Γεν. κεφ. 20.

[α] Οἱ πρὸ τῆς ἐν Νικαίᾳ συνόδου Πατέρες ἐχρῶντο τῇ λέξει *κτίσις* οὐ μόνον περὶ τῆς ἐκ τοῦ μηδενὸς δημιουργίας, ἀλλὰ καὶ περὶ αὐτῆς γε τῆς ἀϊδίου καὶ οἰκονομικῆς γενέσεως τοῦ Λόγου. Τούτου ἕνεκα καὶ ὁ Μελίτων ἐν τῇ ἐπιγραφῇ τοῦ βιβλίου, ἐν ᾧ περὶ τῆς ἀϊδίου τοῦ Χριστοῦ καὶ τῆς ἐν χρόνῳ ἐκ τῆς παναγίας Παρθένου γενέσεως ἐπραγματεύσατο, ἐχρήσατο τῇ λέξει ταύτῃ, ἀποβλέπων ἀναμφισβητήτως πρὸς τό: *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ* (Παροιμ. ζ΄. 22.), ὡς ἐσημείωσεν ὁ Καβέος (Histor. Literar. p. 71). Σ.Μ.

[β] Τοῦ συγγράμματος τούτου, ὡς καὶ τοῦ *περὶ τοῦ Σωτῆρος καὶ πάσης τῆς πίστεως ἡμῶν*, καὶ *περὶ σαρκώσεως Χριστοῦ*, οὐ ποιοῦνται μνείαν ὁ Εὐσέβιος καὶ ὁ Ἱερώνυμος, ἀλλὰ μόνον Ἀναστάσιος ὁ Σιναΐτης ἐν Ὁδηγ. κεφ. ιγ΄. σελ. 258. Σ.Μ.

ωνιτῶν καὶ ἄλλων αἱρετικῶν· δ'.) συγγράμματα περὶ τελετῶν: περὶ τοῦ Πάσχα, περὶ Κυριακῆς· έ.) ἠθικά: περὶ φιλοξενίας.

Ὁ διασωθεὶς εἰς τὰς ἐκλογὰς πρόλογός ἐστι πολύτιμος διὰ τὴν ἁγίαν Ἐκκλησίαν μαρτυρία περὶ τοῦ Κανόνος τῶν Ἱερῶν βιβλίων. Οὗτός ἐστιν ὁ πρῶτος τῶν μέχρις ἡμῶν ἀφικομένων χριστιανικῶν καταλόγων τῶν κανονικῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης. Ἰδοὺ ἡ τάξις καὶ τὰ ὀνόματα τῶν κανονικῶν βιβλίων, κατὰ τὴν περιγραφὴν τοῦ Μελίτωνος: «Μωϋσέως πέντε· Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοί, Δευτερονόμιον· Ἰησοῦς Ναυῆ, Κριταί, Ῥούθ, Βασιλειῶν τέσσαρα, Παραλειπομένων δύο, Ψαλμῶν Δαυΐδ, Σολομῶντος Παροιμίαι, αἳ καὶ Σοφία, Ἐκκλησιαστής, Ἆσμα Ἀσμάτων, Ἰώβ, Προφητῶν Ἡσαΐου, Ἱερεμίου, τῶν Δώδεκα ἐν μονοβίβλῳ, Δανιήλ, Ἰεζεκιήλ, Ἔσδρας» [1]. Σημειωτέον, ὅτι α'.] ὁ κανὼν τοῦ Μελίτωνός ἐστιν ὁ τῆς ἀρχαίας ἰουδαϊκῆς ἐκκλησίας· ἐὰν δηλονότι ἀριθμήσωμεν παρ' αὐτῷ, ὡς ἠρίθμουν ἐν τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ [2], δύο τὰ βιβλία τῶν Βασιλειῶν καὶ ἓν τὸ τῶν Παραλειπομένων, ἐξάγεται ὁ ἀριθμὸς πάντων τῶν βιβλίων τοῦ Κανόνος 22, αὐτὸς δηλ. ἐκεῖνος, ὃς ἦν γνωστὸς καὶ παρὰ τοῖς Ἰουδαίοις· β'.] λέγων ὁ Μελίτων Σολομῶντος Παροιμίαι, αἳ καὶ Σοφία, οὐδαμῶς ἐννοεῖ τὴν νῦν γνωστὴν βίβλον τῆς Σοφίας ἀλλὰ τὴν τῶν Παροιμιῶν. Τοιαύτη καὶ ἡ γραμματικὴ ἔννοια τῶν λόγων αὐτοῦ, καὶ οὕτως ἐκάλουν τὴν βίβλον τῶν Παροιμιῶν ὁ Ἡγήσιππος, ὁ Εἰρηναῖος καὶ ἄλλοι [3]. Καὶ παρ' αὐτῷ τῷ Μελίτωνι τὰ ἐκ τῆς βίβλου τῶν Παροιμιῶν χωρία μνημο-

---

(1) Εὐσέβ. ἐκκλ. ἱστορ. δ'. 26.

(2) Ἴδ. Ἰωσήπου βιβλ. Ά. κατὰ Ἀππίωνος, Ὠριγ. παρ' Εὐσεβίῳ ἐκκλ. ἱστορ. ς'. 25. Κυρίλ. Ἱεροσολ. Κατήχ. δ'.35. Ὁ Ὠριγένης ἀναφέρει καὶ τὴν αἰτίαν τοῦ τοιούτου ἀριθμοῦ. «Οὐκ ἀγνοητέον δ' εἶναι τὰς ἐνδιαθήκους βίβλους, ὡς Ἑβραῖοι παραδιδόασι, δύο καὶ εἴκοσιν, ὅσος ἀριθμὸς τῶν παρ' αὐτοῖς στοιχείων ἐστι».

(3) Εὐσέβ. ἐκκλ. ἱστ. δ'.22,26. Ὁ Ρουφῖνος μετέφρασε τοὺς λόγους τοῦ Μελίτωνος ὧδε: Salomonis Proverbia, quae et Sapientia. Hist. Eccles. IV. 25. Ἐν τῇ πρώτῃ ἐπιστολῇ τοῦ Κλήμεντος ἀναγινώσκομεν: «ἡ πανάρετος Σοφία . . . », καὶ ἀναφέρονται λόγοι τῶν Παροιμιῶν (Ά. 23. 57).

νεύονται ὑπὸ τὸ ὄνομα τῆς βίβλου τῆς Σοφίας (1)· γ'.] παρὰ τῷ Με-λίτωνι οὐ τάσσεται ἐν τοῖς κανονικοῖς βιβλίοις τὸ τοῦ Ν ε ε μ ί ο υ, ἀλλὰ καὶ ἐν τῇ ἀρχαίᾳ ἰουδαϊκῇ ἐκκλησίᾳ ἀπετέλει ἓν βιβλίον μετὰ τοῦ βιβλίου τοῦ Ἔσδρα, ὡς καὶ οἱ Θρῆνοι τοῦ Ἱερεμίου ἀπετέλουν ἓν βιβλίον μετὰ τῶν προφητειῶν αὐτοῦ δ'.] τὸ βιβλίον τῆς Ἐσθὴρ παρελείφθη ἐν τῷ νῦν κειμένῳ τοῦ Μελίτωνος, κατὰ πᾶσαν πιθανότητα, μόνον κατὰ λάθος τοῦ ἀντιγραφέως, διότι ἄλλως οὐκ ἂν ἐξήγετο ὁ Ἰουδαϊκὸς ἀριθμὸς τῶν 22 βιβλίων τοῦ κανόνος.

Τὸ σύγγραμμα Κ λ ε ί ς, διασωθὲν ἐν τῇ λατινικῇ μεταρφάσει, οὐδὲν ἄλλο ἐστὶν ἢ λεξικὸν ἑρμηνευτικὸν τῶν δυσκόλων λέξεων τῆς ἁγ. Γραφῆς. Τὸ σύγγραμμα συνίσταται ἐκ 17 κεφαλαίων: τὸ ά. κεφ. ἄνευ ἐπιγραφῆς ἐν ἀμφοτέροις τοῖς κώδηξι φέρεται, καὶ ἑρμηνεύει τὰ μέλη τὰ τῷ Θεῷ Πατρὶ ἐν τῇ ἁγίᾳ Γραφῇ ἀποδιδόμενα· τὸ β'. κεφ. de Filio Dei secundum carnem (περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ κατὰ σάρκα) ἑρμηνεύει τὰ τῷ Χριστῷ προσγραφόμενα μέλη· τὸ γ'. κεφ. πραγματεύεται de supernis creaturis (περὶ τῶν ἄνω δημιουργημάτων) τὸ δ'. de diebus, annis, et temporibus (περὶ ἡμερῶν, ἐτῶν καὶ καιρῶν)· τὸ έ. de numeris (περὶ ἀριθμῶν)· τὸ ς'. de mundo et partibus ejus (περὶ κόσμου καὶ τῶν μερῶν αὐτοῦ)· τὸ ζ'. de lignis infructuosis)· τὸ ή. de diversis hominum appellationibus (περὶ διαφόρων τῶν ἀνθρώπων φωνῶν)· τὸ θ'. de variis aedificiorum vocabulis (περὶ ποικίλων ὀνομάτων τῶν οἰκοδομημάτων)· τὸ ί. de metallis et aliis, sive his, quae ex metallis fiunt (περὶ μετάλλων καὶ ἄλλων ἢ ἐκείνων, ἃ ἐκ τῶν μετάλλων γίγνονται)· τὸ ιά. de instrumentis bellicis et militia (περὶ πολεμικῶν ὀργάνων καὶ στρατείας)· τὸ ιβ'. de animalibus (περὶ ζώων)· τὸ ιγ'. de bestibus et caeteris animantibus (περὶ θηρίων καὶ ἄλλων ἐμψύχων)· τὸ ιδ'. de civitatibus sive provinciis (περὶ πόλεων, ἢ ἐπαρχιῶν)· τὸ ιέ. de fluminibus et piscinis (περὶ ποταμῶν καὶ ἰχθυοτροφείων)· τὸ ις'. de populis et gentibus (περὶ λαῶν

(1) Ἐν τῷ συγγράμματι *Κλεὶς* ὑπὸ τὴν λέξιν *domus*: domus caro Salvatoris assumpta, vel Sancta Ecclesia; in Salomonis Sapientia: aedificavit sibi Domum Sapientia κ. τ. λ.» Carol. Christian Woog, be Melitone in Patrolog. Migne V. 1179.

καὶ ἐθνῶν)· τὸ ιζ'. de nominibus haebraicis περὶ (ἑβραϊκῶν ὀνομάτων) (1).

§ 45 *Ἀπολογία· περὶ σαρκώσεως Χριστοῦ· ὑποβολιμαῖον σύγγραμμα.*

Τῆς Ἀπολογίας τοῦ ἁγίου Μελίτωνος διεσώθη μέρος μὲν ἐν τῷ πρωτοτύπῳ, μέρος δὲ ἐν τῇ συριακῇ μεταφράσει (2).

»Τὸ γὰρ οὐδεπώποτε γενόμενον, νῦν διώκεται τὸ τῶν θεοσεβῶν γένος, καινοῖς ἐλαυνόμενον δόγμασι κατὰ τὴν Ἀσίαν. Οἱ γὰρ ἀναιδεῖς συκοφάνται καὶ τῶν ἀλλοτρίων ἐρασταί, τὴν ἐκ τῶν διαταγμάτων ἔχοντες ἀφορμήν, φανερῶς λῃστεύουσι, νύκτωρ καὶ μεθ' ἡμέραν διαρπάζοντες τοὺς μηδὲν ἀδικοῦντας... Καὶ εἰ μέν, σοῦ κελεύσαντος, ταῦτα πράττεται, ἔστω καλῶς γινόμενον. Δίκαιος γάρ βασιλεὺς οὐκ ἂν ἀδίκως βουλεύσαιτο πώποτε. Καὶ ἡμεῖς ἡδέως φέρομεν τοῦ τοιούτου θανάτου τὸ γέρας. Ταύτην δέ σοι μόνην προσφέρομεν δέησιν, ἵνα αὐτὸς πρότερον ἐπιγνοὺς τοὺς τῆς τοιαύτης φιλονεικίας ἐργάτας δικαίως κρίνειας, εἰ ἄξιοι θανάτου καὶ τιμωρίας ἢ σωτηρίας καὶ ἡσυχίας εἰσι. Εἰ δὲ καὶ παρὰ σοῦ μὴ εἴη ἡ βουλὴ αὕτη καὶ τὸ καινὸν τοῦτο διάταγμα, ὃ μηδὲ κατὰ βαρβάρων πρέπει πολεμίων, πολὺ μᾶλλον δεόμεθά σου, μὴ περιϊδεῖν ἡμᾶς ἐν τοιαύτῃ δημώδει λεηλασίᾳ... Ἡ γὰρ καθ' ἡμᾶς φιλοσοφία πρότερον μὲν ἐν βαρβάροις ἤκμασεν, ἐπανθήσασα δὲ τοῖς σοῖς ἔθνεσι κατὰ τὴν Αὐγούτου τοῦ σοῦ προγόνου μεγάλην ἀρχήν, ἐγεννήθη μάλιστα τῇ σῇ βασιλείᾳ αἴσιον ἀγαθόν. Ἔκτοτε γὰρ εἰς μέγα καὶ λαμπρὸν τὸ Ῥωμαίων ηὐξήθη κράτος, οὗ σὺ διάδοχος εὐκταῖος γέγονάς τε καὶ ἔσῃ μετὰ τοῦ παιδός, φυλάσσων τῆς βασιλείας τὴν σύντροφον καὶ συναρξαμένην Αὐγούστῳ φιλοσοφίαν, ἣν καὶ οἱ πρόγονοί σου πρὸς ταῖς ἄλλαις θρησκείαις ἐτίμησαν. Καὶ τοῦτο μέγιστον τεκμήριον τοῦ πρὸς ἀγαθοῦ τὸν καθ' ἡμᾶς λόγον συνακμάσαι τῇ καλῶς ἀρξαμένῃ βασιλείᾳ, καὶ τοῦ μηδὲν φαῦλον ἀπὸ τῆς Αὐγούστου ἀρχῆς ἀπαντῆσαι, ἀλλὰ τοὐναντίον ἅπαντα λαμπρὰ καὶ ἔνδοξα κατὰ τὰς πάντων εὐχάς. Μό-

(1) Patrol. Migne V· 1199. 1223. 1224.

(2) Ἡ συριακὴ μετάφρασις ἀνεκαλύφθη ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ὑπὸ τοῦ Ἄγγλου Cureton, ὃς ἐξέδωκεν αὐτὴν συριαστὶ καὶ ἀγγλιστὶ ἐν τῷ βιβλίῳ, ὃ ἐπιγράφεται: Spicilegium Syriacum, Londini, 1855 p. 41-56.

νοι πάντων ἀναπεισθέντες ὑπό τινων βασκάνων ἀνθρώπων τὸν καθ' ἡμᾶς ἐν διαβολῇ καταστῆσαι λόγον ἠθέλησαν Νέρων καὶ Δομετιανός, ἀφ' ὧν καὶ τὸ τῆς συκοφαντίας ἀλόγῳ συνηθείᾳ περὶ τοὺς τοιούτους ῥυῆναι συμβέβηκε ψεῦδος. Ἀλλὰ τὴν ἐκείνων ἄγνοιαν οἱ σοὶ εὐσεβεῖς πατέρες ἐπηνωρθώσαντο, πολλάκις πολλοῖς ἐπιπλήξαντες ἐγγράφως, ὅσοι περὶ τούτων νεωτερίσαι ἐτόλμησαν. Ἐν οἷς ὁ μὲν πάππος σου Ἀδριανὸς πολλοῖς μὲν καὶ ἄλλοις καὶ Φουνδανῷ δὲ τῷ ἀνθυπάτῳ, ἡγουμένῳ δὲ τῆς Ἀσίας, γράφων φαίνεται, ὁ δὲ πατήρ σου, καὶ σοῦ τὰ σύμπαντα διοικοῦντος αὐτῷ, ταῖς πόλεσι περὶ τοῦ μηδὲν νεωτερίζειν περὶ ἡμῶν ἔγραψεν, ἐν οἷς καὶ πρὸς Λαρισσαίους καὶ πρὸς Θεσσαλονικεῖς καὶ πρὸς Ἀθηναίους καὶ πρὸς πάντας Ἕλληνας. Σὲ δὲ καὶ μᾶλλον περὶ τούτων τὴν αὐτὴν ἐκείνοις ἔχοντα γνώμην, καὶ πολύ γε φιλανθρωποτέραν καὶ φιλοσοφωτέραν, πεπείσμεθα πάντα πράσσειν, ὅσα σοῦ δεόμεθα . . . Οὐκ ἐσμὲν λίθων, οὐδεμίαν αἴσθησιν ἐχόντων, θεραπευταί, ἀλλὰ μόνου Θεοῦ, τοῦ πρὸ πάντων καὶ ἐπὶ πάντων καὶ ἐπὶ (ἴσ. ἔτι) τοῦ Χριστοῦ αὐτοῦ ὄντως Θεοῦ Λόγου πρὸ αἰώνων, ἐσμὲν θρησκευταί» (1). Ὁ Χριστιανὸς ποιμὴν μετ' ἀγάπης καὶ ἀκριβοῦς γνώσεως τοῦ ἀντικειμένου σπουδάζει πεῖσαι τὸν φιλόσοφον αὐτοκράτορα περὶ τῆς ἀνάγκης τοῦ παραδέξασθαι ἕνα Θεόν. «Χαλεπὸν, εἶπε τῷ Ἀντωνίῳ Καίσαρι, παραστὰς αὐτῷ, εἰς τὴν ὁδὸν τῆς ἀληθείας εἰσελθεῖν τὸν ἐπὶ μακρὸν χρόνον ἐν τῇ πλάνῃ ἀναστρεφόμενον. Τοῦτο ὅμως δυνατὸν γενέσθαι. Ὁ γὰρ κατὰ μικρὸν ἀρχόμενος συνιέναι τὴν πλάνην, ἄρχεται μεμνῆσθαι τῆς ἀληθείας... Φασί τινες, ὅτι πλανώμενοι μετὰ πολλῶν οὐχ ὑβρίζουσι τὴν δικαιοσύνην. Οὐ δύναμαι συγχωρῆσαι αὐτοῖς. Εἰ μεγάλη ἡ μωρία ἑνός, μείζων ἡ τῶν πολλῶν. Μωρίαν καλῶ, εἰ ὁ ἄνθρωπος ἀφίσταται τῆς ἀληθείας, καὶ παραδέχεται ὅ, τι ἀληθῶς οὐκ ἔστι. Τοῦτο δέ ἐστιν, ὅπερ ἐστὶν ἀληθῶς, καὶ καλεῖται Θεός, καὶ ἐστί. Πάντα τῇ δυνάμει Αὐτοῦ ὑπάρχει. Αὐτὸς οὐδέποτε ἐγένετο οὐδὲ ἔσχεν ἀρχήν, ἀλλ' ἔστιν ἀπὸ τῆς αἰωνιότητος καὶ μέχρι τῶν αἰώνων· μένει ἀμετάβλητος, πάντων μεταβαλλομένων· οὐχ ὁρᾶται ὀφθαλμοῖς, οὐ περιλαμβάνεται τῇ διανοίᾳ, οὐκ ἐκφράζε-

(1) Τὰ τεμάχια ταῦτα ἐκ τοῦ Εὐσεβίου καὶ τοῦ Ἀλεξανδρ. χρον. ἐδημοσιεύθησαν ἐν τῇ Πατρολογίᾳ τοῦ Μιγνίου V. p. 1210-1213.

ται λόγῳ. Εἴ τις τοίνυν τοῦ φωτὸς ἀριστάμενός, φησι τὸν Θεὸν εἶναί τι ἄλλο, οὗτος παραδέχεται δημιούργημα τὸν Θεόν. Τίνες εἰσὶν οἱ ἐθνικοὶ Θεοί; Τεθνεῶτες ἄνθρωποι. Τί τὰ εἴδωλα; ξύλον ἢ μέταλλα. Αἰσχρὸν τῇ ἐλευθέρᾳ διανοίᾳ τοιούτῳ προφανεῖ ψεύδει δουλεύειν. Αἰσχρὸν μὴ εἰδέναι ἐκεῖνον, ὃν οὐ χαλεπὸν μαθεῖν ἔν τε τῇ ψυχῇ αὐτῶν καὶ ἐν τῷ κόσμῳ . . . Φασί τινες: σεβόμεθα τὸ ὑπὸ τῶν πατέρων παραδοθὲν ἡμῖν. Τίνος δ' ἕνεκα τὰ τέκνα τῶν πενήτων ἢ τῶν ἀμαθῶν ἀνθρώπων κτῶνται πλοῦτον καὶ ἐκπαιδεύονται; Διατί τὰ τέκνα τῶν τυφλῶν ὁρῶσι καὶ τὰ τῶν χωλῶν βαδίζουσιν; Οὐ γὰρ δίκαιον ἕπεσθαι τὸν ἄνθρωπον τοῖς κακῶς διαβιώσασι προγόνοις αὐτοῦ, ἀλλὰ τῆς ὁδοῦ αὐτῶν ἀποστῆναι, ἵνα μή, ὥσπερ ἐκεῖνοι, ἀπόληται. Ὅρα τοίνυν, εἰ ὁ σὸς πατὴρ τὴν εὐθεῖαν ὁδὸν ἐβάδισε, καὶ τότε ἕπου τοῖς ἴχνεσιν αὐτοῦ· εἰ τὴν σκολιάν, ἀπόστηθι ταύτης καὶ βάδιζε τὴν εὐθεῖαν ὁδόν, καὶ οἱ υἱοί σου ἐπέσθωσάν σοι. Λυποῦ ἐπὶ τῷ βαδίσαι τὸν πατέρα σου τὴν σκολιὰν ὁδόν· ἡ γὰρ σὴ λύπη δύναται παρασχεῖν αὐτῷ ὠφέλειαν. Τοῖς υἱοῖς σου λέγε: Ὁ Θεός ἐστι πατὴρ πάντων· ὁ Θεός ἐστιν ἄνευ ἀρχῆς καὶ οὐκ ἐποιήθη· πάντα τῇ βουλήσει αὐτοῦ ὑπόκειται. . . Ταῦτα μαθών, ὦ Ἀντωνῖνε Καῖσαρ, καὶ μετά σοῦ οἱ υἱοί σου, παραδώσεις αὐτοῖς εἰς κληρονομίαν αἰώνιον πλοῦτον καὶ οὐ φθειρόμενον· ἀπαλλάξεις τὴν ψυχήν σου καὶ τὰς τῶν υἱῶν σου τῶν μελλόντων πᾶσι τοῖς κατοίκοις τῆς γῆς ἐν τῷ ἀληθεῖ καὶ δικαίῳ δικαστηρίῳ συμβῆναι. Ἐκεῖ γὰρ γνώσεταί σε Θεός, εἰ ἐνταῦθα γνώσῃ αὐτόν. Περιϊδὼν δὲ αὐτὸν ἐνταῦθα, οὐκ ἔσῃ ἐν τοῖς γινώσκουσιν αὐτὸν καὶ εὐχαριστοῦσιν Αὐτῷ» (¹).

Ἀναστάσιος ὁ Σιναΐτης διέσωσε πολύτιμον χωρίον ἐκ τοῦ τρίτου βιβλίου τοῦ Μελίτωνος *περὶ σαρκώσεως Χριστοῦ*, τοῦ γραφέντος, ὡς λέγει, κατὰ Μαρκίωνος. Ἐνταῦθα ὁ ἅγιος Μελίτων διδάσκει: «ὡς οὐδεμία ἀνάγκη τοῖς νοῦν ἔχουσι, ἐξ ὧν μετὰ τὸ βάπτισμα ὁ Χριστὸς ἔπραξε, παριστᾶν τὸ ἀληθὲς καὶ ἀφάνταστον τῆς ψυχῆς αὐτοῦ, καὶ τοῦ σώματος τῆς καθ' ἡμᾶς ἀνθρωπίνης φύσεως. Τὰ γὰρ μετὰ τὸ

(¹) Ex *Apologia* Melitonis ad Antoninum Caesarem (Syriace et Anglice nuper edidit Dr. Cureton in libro cui titulus: Spicilegium Syriacum, Londini 1855. p. 41-56, Patrolog. Migne V. 1225-32.

βάπτισμα ὑπὸ Χριστοῦ πραχθέντα, καὶ μάλιστα τὰ σημεῖα, τὴν αὐτοῦ κεκρυμμένην ἐν σαρκὶ θεότητα ἐδήλουν, καὶ ἐπιστοῦντο τῷ κόσμῳ. Θεὸς γὰρ ὢν ὁμοῦ τε καὶ ἄνθρωπος τέλειος ὁ αὐτός, τὰς δύο αὐτοῦ οὐσίας ἐπιστώσατο ἡμῖν· τὴν μὲν Θεότητα αὐτοῦ, διὰ τῶν σημείων ἐν τῇ τριετίᾳ, τῇ μετὰ τὸ βάπτισμα· τὴν δὲ ἀνθρωπότητα αὐτοῦ, ἐν τοῖς τριάκοντα χρόνοις, τοῖς πρὸ τοῦ βαπτίσματος, ἐν οἷς, διὰ τὸ ἀτελὲς τὸ κατὰ σάρκα, ἀπέκρυβε τὰ σημεῖα τῆς αὐτοῦ Θεότητος, καίπερ Θεὸς ἀληθὴς προαιώνιος ὑπάρχων» ([1]). Ἰδοὺ πῶς ἐδίδασκον οἱ διδάσκαλοι τοῦ δευτέρου αἰῶνος περὶ τοῦ Χριστοῦ Ἰησοῦ, ὅτε ὡμίλουν οὐχὶ ἐνώπιον τῶν ἐθνικῶν! Οἱ λόγοι τοῦ ἁγίου Μελίτωνός εἰσι πάνυ σημαντικοὶ διὰ τὴν εὐαγγελικὴν ἱστορίαν· κατ' ἐξοχὴν δέ εἰσι σπουδαῖοι διὰ τὴν δογματικὴν διδασκαλίαν. Τούτοις ἐλέγχονται καὶ Ἄρειος καὶ Νεστόριος καὶ Εὐτυχής! Ὀρθότατα ἔγραψεν ὁ Εὐσέβιος: «τὰ γὰρ Εἰρηναίου τε καὶ Μελίτωνος καὶ τῶν λοιπῶν τίς ἀγνοεῖ βιβλία, Θεὸν καὶ ἄνθρωπον καταγγέλλοντα τὸν Χριστόν;» ([2]). Οὐδεμία ἀμφιβολία ὅτι ἀνωτέρω ὁ Εὐσέβιος γράφων ταῦτα εἶχεν ὑπ' ὄψει τοὺς λόγους τοῦ Μελίτωνος.

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Μελίτωνός ἐστι γνωστὸν ἔτι τὸ σύγγραμμα: π ε ρ ὶ τ ῆ ς κ ο ι μ ή σ ε ω ς, ἢ ἀ ν α λ ή ψ ε ω ς τ ῆ ς Θ ε ο τ ό κ ο υ Μ α ρ ί α ς ([3]), τὸ καὶ ἐν τοῖς σλαβικοῖς χειρογράφοις εὑρισκόμενον. Τὸ σύγγραμμα τοῦτο ἀναμφιβόλως οὐκ ἀνήκει εἰς τὸν ἅγιον Μελίτωνα, τὸν ἔνδοξον ποιμένα τοῦ β'. αἰῶνος. Ὁ συγγραφεὺς αὐτοῦ οὐκ ἐγίνωσκε καλῶς τὸν χρόνον τοῦ Μελίτωνος, διότι λέγει, ὅτι ἦν σύγχρονος τῷ Ἀποστόλῳ Ἰωάννῃ καὶ τοῖς λοιποῖς Ἀποσόλοις. Ἀλλὰ τοῦτο οὐ κωλύει παραδέξασθαι ὡς ἀξιοπίστους τὰς περὶ κοιμήσεως τῆς Θεοτόκου εἰδήσεις, τὰς ἐν τῷ συγγράμματι τούτῳ ἀπαντώσας. Αὗται συνᾴδουσιν ἄλλως καὶ τοῖς λοιποῖς μνημείοις τῆς ἀρχαιότητος, τὸ βιβλίον δὲ ἐγράφη κυρίως πρὸς διόρθωσιν τῆς περὶ τούτου ψευδοῦς διηγήσεως τοῦ Λευκίου ([4]).

([1]) Ὁδηγ. § 13. σελ. 260. παρὰ Ρουθίῳ. I. Patrol. Migne V. 1221.

([2]) Ἐκκλ. ἱστορ. έ. 28.

([3]) Ἐτυπώθη ἐν ταῖς λατιν. βιβλιοθ. τῶν Πατέρων (Bibl. P. Lugd. 11) καὶ τῇ τοῦ Μιγνίου Πατρολ. V. 1231—1250.

([4]) Ὁ Πάπας Γελάσιος ἔταξεν αὐτὸ ἐν τοῖς ἀποκρύφοις in decreto: «Liber, qui appellatur *Transitus*, id est *Assumptio beatae Mariae*, apocryphus».

§ 46. *Διονύσιος Κορίνθου ἐπίσκοπος.*

Σύγχρονος τῷ ἁγίῳ Μελίτωνι ἦν ὁ ἅγιος Διονύσιος, κοσμήσας τὴν ἐκκλησίαν τῆς Κορίνθου ὡς ποιμὴν αὐτῆς (¹). Ἀναβὰς ἐπὶ τὸν θρόνον τῷ ροϛ΄. σωτηρίῳ ἔτει (²), «τῆς ἐνθέου φιλοπονίας οὐ μόνοις τοῖς ὑπ᾽ αὐτόν, ἀλλ᾽ ἤδη καὶ τοῖς ἐπὶ τῆς ἀλλοδαπῆς ἀφθόνως ἐκοινώνει, χρησιμώτατον ἅπασιν ἑαυτὸν καθιστάς, ἐν αἷς ὑπετυποῦτο καθολικαῖς πρὸς τὰς ἐκκλησίας ἐπιστολαῖς». Κατὰ τὸν Ἱερώνυμον, οἱ ἔνδοξοι αὐτοῦ ἀγῶνες ἀνεφέροντο εἰς τοὺς χρόνους τοῦ Μάρκου Αὐρηλίου καὶ Κομμόδου· ἀνεδήσατο τὸν στέφανον τοῦ μαρτυρίου περὶ τὸ ρπϐ΄. σωτήριον ἔτος.

Ἐκ τῆς πρὸς Ρωμαίους ἐπιστολῆς αὐτοῦ διεσώθησαν οἱ ἑπόμενοι λόγοι: «Ἐξ ἀρχῆς γὰρ ὑμῖν ἔθος ἐστὶ τοῦτο, πάντας μὲν ἀδελφοὺς ποικίλως εὐεργετεῖν, ἐκκλησίαις τε πολλαῖς ταῖς κατὰ πᾶσαν πόλιν ἐφόδια πέμπειν, ὧδε μὲν τὴν τῶν δεομένων πενίαν ἀναψύχοντας, ἐν μετάλλοις δὲ ἀδελφοῖς ὑπάρχουσιν ἐπιχορηγοῦντας, δι᾽ ὧν πέμπετε ἀρχῆθεν ἐφοδίων, πατροπαράδοτον ἔθος Ρωμαίων Ρωμαῖοι διαφυλάττοντες, ὃ οὐ μόνον διατετήρηκεν ὁ μακάριος ὑμῶν ἐπίσκοπος Σωτήρ, ἀλλὰ καὶ ἐπηύξηκεν, ἐπιχορηγῶν μὲν τὴν διαπεμπομένην δαψίλειαν τὴν εἰς τοὺς ἁγίους, λόγοις δὲ μακαρίοις τοὺς ἀνιόντας ἀδελφούς, ὡς τέκνα πατὴρ φιλόστοργος, παρακαλῶν» . . . Τὴν σήμερον οὖν Κυριακὴν ἁγίαν ἡμέραν διηγάγομεν, ἐν ᾗ ἀνέγνωμεν ὑμῶν τὴν ἐπιστολήν, ἣν ἕξομεν ἀείποτε ἀναγινώσκοντες νουθετεῖσθαι, ὡς καὶ τὴν προτέραν ἡμῖν διὰ Κλήμεντος γραφεῖσαν . . . . Ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Πέτρου καὶ Παύλου φυτείαν γεννηθεῖσαν Ρωμαίων τε καὶ Κορινθίων συνεκεράσατε. Καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φυτεύσαντες ἡμᾶς, ὁ-

(¹) Εὐσέϐ. ἐκκλησ. ἱστορ. δ΄. 21. «Ἤκμαζον ἐν τούτοις ἐπὶ τῆς ἐκκλησίας Ἡγήσιπός τε, ὃν ἴσμεν ἐκ τῶν προτέρων, καὶ Διονύσιος Κορινθίων ἐπίσκοπος, Πινυτός τε ἄλλος τῶν ἐπὶ Κρήτης ἐπίσκοπος, Φίλιππός τε ἐπὶ τούτοις καὶ Ἀπολινάριος καὶ Μελίτων, Μουσανός τε καὶ Μόδεστος, καὶ ἐπὶ πᾶσιν Εἰρηναῖος, ὧν καὶ εἰς ἡμᾶς τῆς ἀποστολικῆς παραδόσεως ἡ τῆς ὑγιοῦς πίστεως ἔγγραφος κατῆλθεν ὀρθοδοξία».

(²) Εὐσέϐ. καν. χρον. εἰς τὸ ἔτος ιά. τοῦ Μ. Αὐρηλίου.

μοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ὁμόσε διδάξαντες, ἐμαρτύρησαν κατὰ τὸν αὐτὸν καιρόν.... Ἐπιστολὰς γάρ, ἀδελφῶν ἀξιωσάντων με γράψαι, ἔγραψα. Καὶ ταύτας οἱ τοῦ διαβόλου ἀπόστολοι ζιζανίου γεγέμικαν, ἃ μὲν ἐξαιροῦντες, ἃ δὲ προστιθέντες, οἷς τὸ οὐαὶ κεῖται· οὐ θαυμαστὸν ἄρα, εἰ καὶ τῶν κυριακῶν ῥᾳδιουργῆσαί τινες ἐπιβέβληνται Γραφῶν, ὁπότε καὶ ταῖς οὐ τοιαύταις ἐπιβεβλήκασι»(¹).

Ὁ Εὐσέβιος ἀπαριθμεῖ ἑπτὰ ἄλλας ἐπιστολὰς τοῦ ἁγίου Διονυσίου. Δυστυχῶς βραχέα τινὰ μόνον λέγει περὶ τῆς ὑποθέσεως αὐτῶν. «Ὧν, γράφει, ἐστὶν ἡ μὲν πρὸς Λακεδαιμονίους, ὀρθοδοξίας κατηχητική, εἰρήνης τε καὶ ἑνώσεως ὑποθετική, ἡ δὲ πρὸς Ἀθηναίους, διεγερτικὴ πίστεως καὶ τῆς κατὰ τὸ Εὐαγγέλιον πολιτείας, ἧς ὀλιγωρήσαντας ἐλέγχει, ὡσὰν μικροῦ δεῖν ἀποστάντας τοῦ λόγου, ἐξ οὗπερ τὸν προεστῶτα αὐτῶν Πούπλιον μαρτυρῆσαι κατὰ τοὺς τότε συνέβη διωγμούς. Κοδράτου δὲ μετὰ τὸν μαρτυρήσαντα Πούπλιον καταστάντος αὐτῶν ἐπισκόπου μέμνηται, ἐπιμαρτυρῶν, ὡς διὰ τῆς αὐτοῦ σπουδῆς ἐπισυναχθέντων καὶ τῆς πίστεως ἀναζωπύρησιν εἰληχότων. Δηλοῖ δ' ἐπὶ τούτοις, ὡς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης ὑπὸ τοῦ Ἀποστόλου Παύλου προτραπεὶς ἐπὶ τὴν πίστιν κατὰ τὰ ἐν ταῖς πράξεσι δεδηλωμένα πρῶτος τῆς Ἀθήνησι παροικίας τὴν ἐπισκοπὴν ἐγκεχείριστο. Ἄλλη δ' ἐπιστολή τις αὐτοῦ πρὸς Νικομηδέας φέρεται, ἐν ᾗ τὴν Μαρκίωνος αἵρεσιν πολεμῶν τῷ τῆς ἀληθείας παρίσταται κανόνι. Καὶ τῇ ἐκκλησίᾳ δὲ τῇ παροικούσῃ Γόρτυναν ἅμα ταῖς λοιπαῖς κατὰ Κρήτην παροικίαις ἐπιστείλας, Φίλιππον ἐπίσκοπον αὐτῶν ἀποδέχεται, ἅτε δὴ ἐπὶ πλείσταις μαρτυρουμένης ἀνδραγαθίαις τῆς ὑπ' αὐτὸν ἐκκλησίας, τήν τε τῶν αἱρετικῶν διαστροφὴν ὑπομιμνήσκει φυλάττεσθαι. Καὶ τῇ ἐκκλησίᾳ δὲ τῇ παροικούσῃ Ἄμαστριν ἅμα ταῖς κατὰ Πόντον ἐπιστείλας, Βακχυλίδου μὲν καὶ Ἐλπίστου ὡσὰν αὐτῶν ἐπὶ τὸ γράψαι προτρεψάντων αὐτὸν μέμνηται, Γραφῶν τε Θείων ἐξηγήσεις παρατέθειται, ἐπίσκοπον αὐτῶν ὀνόματι Πάλμαν

(¹) Παρ' Εὐσεβ. δ'. 23. παρὰ Ρουθίῳ Reliquiae S. παρὰ Συγκέλ. χρονογρ. σ. 341.

ὑποσημαίνων· πολλὰ δὲ περὶ γάμου καὶ ἁγνείας τοῖς αὐτοῖς παραινεῖ, καὶ τοὺς ἐξ οἵας δ' οὖν ἀποπτώσεως, εἴτε πλημμελείας, εἴτε μὴν αἱρετικῆς πλάνης ἐπιστρέφοντας δεξιοῦσθαι προστάττει. Ταύταις ἄλλη ἐγκατείλεκται πρὸς Κνωσίους ἐπιστολή, ἐν ᾗ Πινυτὸν τῆς παροικίας ἐπίσκοπον παρακαλεῖ, μὴ βαρὺ φορτίον ἐπάναγκες τὸ περὶ ἁγνείας τοῖς ἀδελφοῖς ἐπιτιθέναι, τῆς δὲ τῶν πολλῶν καταστοχάζεσθαι ἀσθενείας . . . Καὶ ἄλλη δέ τις παρὰ ταύτας ἐπιστολὴ τοῦ Διονυσίου φέρεται, Χρυσοφόρᾳ πιστοτάτῃ ἀδελφῇ ἐπιστείλαντος, ᾗ τὰ κατάλληλα γράφων, τῆς προσηκούσης καὶ αὐτῇ μετεδίδου λογικῆς τροφῆς» (¹).

§ 47. Ἀπολινάριος Ἱεραπόλεως ἐπίσκοπος.

Ἐν τῇ αὐτῇ μικρᾷ Ἀσίᾳ, ἔνθα ἤθλησεν ὁ ἅγιος Μελίτων ὁ Σάρδεων, κατὰ τὸν αὐτὸν χρόνον ἠγωνίζετο μετ' αὐτοῦ θερμουργῶς πρὸς δόξαν τοῦ ὀνόματος τοῦ Χριστοῦ καὶ ὁ ἅγιος Ἀπολινάριος, ὁ Ἱεραπόλεως ἐπίσκοπος (²). Ἡ σύγχρονος Ἐκκλησία εὗρεν ἐν αὐτῷ ἰσχυρὸν καὶ ἀκαταγώνιστον ὅπλον κατὰ τῶν συγχρόνων αἱρετικῶν, ὡς καὶ κατὰ τῶν θλίψεων τῶν ὑπὸ τῶν ἐθνικῶν ἐγερθεισῶν (³). Κατὰ τὸν Θεοδώρητον, πρὸς τῇ γνώσει τῶν θείων ἦν κεκοσμημένος καὶ τῇ ἔξωθεν παιδείᾳ (⁴). Τότε μόλις ἤρξατο ὁ Μοντανὸς κηρύσσειν τὴν διδασκαλίαν αὐτοῦ. Ὁ δὲ Ἀπολινάριος, ἱερεὺς ὢν ἔτι ἐπὶ τοῦ ἱεράρχου Ἀβερκίου, Ἱεραπόλεως ἐπισκόπου, τῇ θελήσει τοῦ ποιμένος αὐτοῦ, ἤλεγξε γενναίως τὰς πλάνας τοῦ Μοντανοῦ (⁵), καὶ τῇ ὑφηγήσει τοῦ αὐτοῦ ἔγραψε μακρὸν ἔλεγχον κατὰ τῶν ἀσε-

---

(¹) Εὐσέβ. ἐκκλ. ἱστ. δ'. 23.

(²) Ἴδ. περὶ τοῦ ἁγίου Διονυσίου σημ. 1.

(³) Εὐσέβ. ἐκκλ. ἱστορ· ε. 16.

(⁴) Αἱρετ. κακομυθ. ἐπιτ. λόγ. γ'. 2. «Κατὰ τούτων (τῶν Μοντανιστῶν) συνέγραψεν Ἀπολινάριος, ὁ τῆς κατὰ Φρυγίαν ἱερᾶς πόλεως ἐπίσκοπος γεγονώς, ἀνὴρ ἀξιέπαινος, καὶ πρὸς τῇ γνώσει τῶν θείων καὶ τὴν ἔξωθεν παιδείαν προσειληφώς».

(⁵) Εὐσέβ. δ'. 27. Περὶ τοῦ ἁγ. Ἀβερκίου ἴδ. Surias ad 22 Octobris Lipomanes in VI tom. act.

ξῶν αὐθαιρεσιῶν τῶν Μοντανιστῶν ([1]). Ὑπὸ τοῦ ἁγίου Ἀπολιναρίου, ἐπισκόπου Ἱεραπόλεως, καὶ ἑτέρων εἴκοσιν ἐπισκόπων σύνοδος θεία καὶ ἱερὰ τοπικὴ ἐν Ἱεραπόλει συνηθροίσθη «ἀποκηρύξασά τε καὶ ἐκκόψασα Μοντανὸν καὶ Μαξιμίλλαν τοὺς ψευδοπροφήτας, οἳ καὶ βλασφήμως, ἤτοι δαιμονιῶντες, καθώς φησιν ὁ αὐτὸς Πατήρ, τὸν βίον κατέστρεψαν». Σὺν αὐτοῖς δὲ κατέκρινε καὶ Θεόδοτον τὸν Σκυτέα([2]). Καί τοι μετὰ τὸν περίφημον πρὸς τοὺς Κουάδους καὶ Μαρκομάννους (τῷ 174) πόλεμον, ἐν ᾧ ὁ στρατὸς τοῦ Μάρκου Αὐρηλίου ἐσώθη ταῖς τῶν χριστιανῶν στρατιωτῶν εὐχαῖς ([3]), ὁ φιλόσοφος Αὐτοκράτωρ ἐκώλυσε καταδιώκειν τοὺς χριστιανοὺς διὰ τὴν πίστιν ([4]), ὅμως ὁ φιλόσοφος Αὐτοκράτωρ (τοιαύτη ἡ ἀνθρωπίνη φιλοσοφία) οὐκ εἶχε τὴν σταθερότητα ἐπιμεῖναι τῷ νόμῳ τούτῳ καὶ ὁ κατὰ τῶν χριστιανῶν διωγμὸς πάλιν ἤρξατο([5]). Ὁ χριστια-

([1]) Ὁ Εὐσέβιος (ἐκκλ. ἱστ. έ. 16), εἰπών, ὅτι ἡ Πρόνοια ἐνίσχυσε κατὰ τῶν Μοντανιστῶν τὸν Ἱεραπόλεως Ἀπολινάριον καὶ ἄλλους, γράφει περαιτέρω: «Ἀρχόμενος γοῦν τῆς κατ' αὐτῶν γραφῆς, τῶν εἰρημένων δή τις πρῶτον ἐπισημαίνεται, ὡς καὶ ἀγράφοις τοῖς κατ' αὐτῶν ἐπεξῆλθεν ἐλέγχοις. Προοιμιάζεται γοῦν τοῦτον τὸν τρόπον: Εἰ πλείστου ὅσου καὶ ἱκανωτάτου χρόνου, ἀγαπητὲ Ἀουΐρκιε Μάρκελλε, ἐπιταχθεὶς ὑπὸ σοῦ συγγράψαι τινὰ λόγον εἰς τὴν τῶν κατὰ Μιλτιάδην λεγομένων αἵρεσιν, ἐφεκτικώτερόν πως μέχρι νῦν διεκείμην». Ὁ Ρουφῖνος (ἐκκλ. ἱστ. έ. 15), καὶ ὁ Νικηφόρος (ἐκκλ. ἱστ. δ'. 23), ρητῶς ἀποκαλοῦσι τὸν ἅγιον Ἀπολινάριον συγγραφέα ἐλέγχου, ἀφιερωθέντος τῷ Ἀβερκίῳ. Ὁ Ἱερώνυμος ἔγραψε: «Τί εἴπω περὶ Μελίτωνος τοῦ Σάρδεων, τί περὶ Ἀπολιναρίου τοῦ ἱερέως (Sacerdote) τῆς Ἐκκλησίας τῆς Ἱεραπόλεως, περὶ Διονυσίου τοῦ Κορίνθου — οἳ ἐν πολλοῖς βιβλίοις ἐξέθηκαν τὴν γένεσιν τῶν αἱρέσεων, ἐκ τίνων φιλοσοφικῶν πηγῶν ἐξῆλθον;» Πρόδηλον, κατὰ τὸν Ἱερώνυμον, ὅτι ὁ Ἀπολινάριος ἔγραψε κατὰ αἱρέσεως, πρεσβύτερος ἔτι ὤν.

([2]) Apud Concil. Labb. et Cossart. tom. I. p. 599.

([3]) Περὶ τούτου γράφουσιν ὁ Τερτυλλιανὸς Apolog. c. 5. ad Scapul. c. 4. Ὁ Εὐσέβ. ἐκκλησ. ἱστορ. έ. 5. ὁ Ἱερώνυμος Chron. ad an. 176, καὶ Γρηγόρ. ὁ Νύσ. ἐν λόγ. Β'. εἰς τοὺς ἁγίους μ'. μάρτυρας.

([4]) Τερτυλλιαν. ἔνθ. ἀνωτ. Εὐσέβ. αὐτόθ. Ἱερώνυμ. αὐτόθ.

([5]) Τοῦτο δεικνῦσιν οἱ ἐν Λουγδούνῳ μαρτυρήσαντες. ἴδ. περὶ Εἰρην. σημ. 7.

νὸς ποιμὴν πλήρης ἐνθέου ζήλου ἔδωκε (τῷ 176) τῷ Αὐτοκράτορι Ἀπολογίαν, ἐν ᾗ ἐφανέρου αὐτῷ τὴν ὑπηρεσίαν τῆς χριστιανικῆς λεγεῶνος (1). Τὸ ἔτος τῆς μακαρίας αὐτοῦ τελευτῆς ἐστιν ἄγνωστον (2).

Ὁ ἅγιος Ἀπολινάριος ἦν εἷς τῶν γονίμων τῆς Ἐκκλησίας διδασκάλων. Ὁ Εὐσέβιος γράφει: «Τοῦ δὲ Ἀπολιναρίου πολλῶν παρὰ πολλοῖς σωζομένων, τὰ εἰς ἡμᾶς ἐλθόντα ἐστὶ τάδε: λόγος ὁ πρὸς τὸν προειρημένον βασιλέα, καὶ πρὸς Ἕλληνας συγγράμματα πέντε, καὶ περὶ ἀληθείας πρῶτον καὶ δεύτερον[α], καὶ ἃ μετὰ ταῦτα συνέγραψε κατὰ τῆς τῶν Φρυγῶν αἱρέσεως, μετ' οὐ πολὺν καινοτομηθείσης χρόνον, τότε γε μὴν ὥςπερ ἐκφύειν ἀρχομένης, ἔτι τοῦ Μοντανοῦ ἅμα ταῖς αὐτοῦ ψευδοπροφήτισιν ἀρχὰς τῆς παρεκτροπῆς ποιουμένου» (3). Ὁ Θεοδώρητος ἀνέγνω σύγγραμμα αὐτοῦ πρὸς τοὺς Σεουηριανοὺς Ἐγκρατίτας (4).

---

(1) Εὐσέβ. ἐκκλ. ἱστορ. δ'. 28. ε'. 5.

(2) Ἡ μνήμη αὐτοῦ ἐν μὲν τῇ ἑλλην. Ἐκκλησίᾳ τῇ ή. Ἰανουαρίου, ἐν δὲ τῇ ῥωμαϊκῇ τῇ ζ'. Φεβρουαρίου.

[α] Ὁ Φώτιος (ἀνάγν. ιδ'.) λέγει περὶ τοῦ ἁγίου Ἀπολιναρίου τάδε: «Ἀνεγνώσθη Ἀπολιναρίου πρὸς Ἕλληνας καὶ περὶ εὐσεβείας καὶ περὶ *ἀληθείας*. Ἔστι δὲ Ἱεραπολίτης ὁ συγγραφεύς, τῆς ἐν Ἀσίᾳ Ἱεραπόλεως γεγονὼς ἐπίσκοπος. Ἤνθησε δὲ ἐπὶ Μάρκου Ἀντωνίνου Βήρου βασιλέως Ρωμαίων. Ἀξιόλογος δὲ ὁ ἀνὴρ καὶ φράσει ἀξιολόγῳ κεχρημένος. Λέγεται δὲ αὐτοῦ καὶ ἕτερα συγγράμματα ἀξιομνημόνευτα εἶναι, οἷς οὔπω ἡμεῖς ἐνετύχομεν». Ὁ Εὐσέβιος οὐ ποιεῖται μνείαν τοῦ *περὶ ἀληθείας* συγγράμματος. Κατὰ τὸν ἅγιον Μάξιμον τὸν Ὁμολογητὴν (ἐν τῷ προλ. εἰς Διονύσ. Ἀρεοπ. p. 36. ed Corderii, p. 4. ed Morelii), «πάμπολλα παρῆκεν ὁ Εὐσέβιος οὐκ ἐλθόντα παρὰ χεῖρας οἰκείας· καὶ γὰρ οὔτε φησὶν ἅπαντα καθάπαξ συναγηοχέναι· μᾶλλον γε μὴν ὁμολογεῖ καὶ ἀριθμοῦ κρείττονα βιβλία καθεστάναι μηδαμῶς εἰς αὐτὸν ἐληλυθότα. Καὶ πολλῶν ἐδυνάμην μνημονεῦσαι μὴ κτηθέντων αὐτῷ, καὶ ταῦτα τῆς αὐτοῦ χώρας· ὡς Ὑμεναίου καὶ Ναρκίσσου τῶν ἱερευσαμένων ἐν Ἱεροσολύμοις. Ἐγὼ γοῦν ἐνέτυχόν τισι τῶν Ὑμεναίου. Καὶ μὴν οὔτε Πανταίνου τοὺς πόνους ἀνέγραψεν, οὔτε τοῦ Ρωμαίου Κλήμεντος πλὴν δύο καὶ μόνων ἐπιστολῶν· ἀλλ' οὔτε πλείστων ἑτέρων. Ὁ γὰρ Ὠριγένης, οὐκ οἶδα ε πάντων, μόλις δέ τεττάρων ἐμνήσθη». Σ. Μ.

(3) Εὐσέβ. ἐκκλησ. ἱστορ. δ'. 27. Hieron. de vir· illustr. c. 26.

(4) Αἱρετ. κακομ.. βιβλ. β'. κεφ. 21.

Ὁ Σωκράτης τάσσει τὸν Ἀπολινάριον ἐν τοῖς διδασκάλοις ἐκείνοις, οἳ «ἔμψυχον τὸν ἐνανθρωπήσαντα ἐν τοῖς πονηθεῖσιν αὐτοῖς λόγοις ὡς ὁμολογούμενον αὐτοῖς φάσκουσιν». (1).

»Ἐπειδὴ τοίνυν, ἔγραφεν ὁ Ἀπολινάριος, καὶ προφητοφόντας ἡμᾶς ἀπεκάλουν, ὅτι μὴ τοὺς ἀμετροφώνους αὐτῶν προφήτας ἐδεξάμεθα (τούτους γὰρ εἶναί φασιν, οὕσπερ ἐπηγγείλατο τῷ λαῷ πέμψειν ὁ Κύριος), ἀποκρινάσθωσαν ἡμῖν, πρὸς Θεοῦ, ἔστι τις, ὦ βέλτιστοι, τούτων τῶν ἀπὸ Μοντανοῦ καὶ τῶν γυναικῶν λαλεῖν ἀρξαμένων, ὅστις ὑπὸ Ἰουδαίων ἐδιώχθη ἢ ὑπὸ παρανόμων ἀπεκτάνθη; οὐδείς. Οὐδέ γε τις αὐτῶν κρατηθεὶς ὑπὲρ τοῦ ὀνόματος (δηλ. τοῦ Κυρίου, ἢ τοῦ Χριστοῦ) ἀνεσταυρώθη; οὐ γὰρ οὖν. Οὐδὲ μὴν οὐδὲ ἐν συναγωγαῖς Ἰουδαίων τῶν γυναικῶν τις ἐμαστιγώθη ποτέ, ἢ ἐλιθοβολήθη; Οὐδαμόσε οὐδαμῶς. Ἄλλῳ δὲ θανάτῳ τελευτῆσαι λέγονται Μοντανός τε καὶ Μαξιμίλλα. Τούτους γὰρ ὑπὸ πνεύματος βλαψίφρονος ἑκατέρους ὑποκινήσαντος, λόγος ἀναρτῆσαι ἑαυτούς, οὐχ᾿ ὁμοῦ, κατὰ δὲ τὸν τῆς ἑκάστου τελευτῆς καιρὸν φήμη πολλή, καὶ οὕτω δὲ τελευτῆσαι καὶ τὸν βίον καταστρέψαι Ἰούδα προδότου δίκην . . .» (2).

Ἐν τῷ πασχαλ. χρονικῷ διεσώθησαν τεμάχια ἐκ τοῦ περὶ τοῦ Πάσχα συγγράμματος τοῦ Ἀπολιναρίου, ὧν τινα ἀφορῶσι καὶ εἰς τὴν ἁγίαν πίστιν: «Εἰσὶ τοίνυν οἱ δι᾿ ἄγνοιαν φιλονεικοῦσι περὶ τούτων, συγγνωστὸν πρᾶγμα πεπονθότες· ἄγνοια γὰρ οὐ κατηγορίαν ἀναδέχεται, ἀλλὰ διδαχῆς προσδεῖται· καὶ λέγουσιν, ὅτι τῇ ιδ΄. τὸ πρόβατον μετὰ τῶν μαθητῶν ἔφαγεν ὁ Κύριος· τῇ δὲ μεγάλῃ ἡμέρᾳ τῶν Ἀζύμων αὐτὸς ἔπαθεν· καὶ διηγοῦνται Ματθαῖον οὕτω λέγειν ὡς νενοήκασιν· ὅθεν ἀσύμφωνός τε νόμῳ ἡ νόησις αὐτῶν· καὶ στασιάζειν δοκεῖ κατ᾿ αὐτοὺς τὰ Εὐαγγέλια. — Ἡ ιδ΄. τὸ ἀληθινὸν τοῦ Κυρίου Πάσχα, ἡ θυσία ἡ μεγάλη, ὁ ἀντὶ τοῦ ἀμνοῦ παῖς Θεοῦ, ὁ δεθείς, ὁ δέσας τὸν ἰσχυρόν, καὶ ὁ κριθεὶς κριτὴς ζώντων καὶ νεκρῶν· καὶ ὁ παραδοθεὶς εἰς χεῖρας ἁμαρτωλῶν, ἵνα σταυρωθῇ· ὁ ὑψωθεὶς ἐπὶ κεράτων μονοκέρωτος, καὶ ὁ τὴν ἁγίαν πλευρὰν

(1) Ἐκκλ. ἱστορ. γ΄. 7.
(2) Εὐσέβ. ἐκκλ. ἱστορ. ε΄. 16.

ἐκκεντηθείς, ὁ ἐκχέας ἐκ τῆς πλευρᾶς Αὐτοῦ τὰ δύο πάλιν καθάρσια, ὕδωρ καὶ αἷμα, λόγον καὶ πνεῦμα· καὶ ὁ ταφεὶς ἐν ἡμέρᾳ τῇ τοῦ Πάσχα, ἐπιτεθέντος τῷ μνήματι τοῦ λίθου» ([1]).

§ 48. *Ὁ ἅγιος Εἰρηναῖος Λουγδούνου ἐπίσκοπος· βίος αὐτοῦ.*

Ὁ ἅγιος Εἰρηναῖος, κατὰ τοὺς λόγους αὐτοῦ, ἑώρακεν ἐν τῇ πρώτῃ αὐτοῦ ἡλικίᾳ τὸν ἅγιον Πολύκαρπον τὸν Σμύρνης ἐπίσκοπον([2]), ἐν τῇ μικρᾷ Ἀσίᾳ, ἔνθα ἠκροάσατο καὶ ἄλλων μαθητῶν τῶν Ἀποστόλων ([3]). Τὰ συγγράμματα αὐτοῦ δεικνῦσιν, ὅτι ἔλαβε πλήρη τὴν ἐκπαίδευσιν ἐκείνου τοῦ χρόνου, ἐξοικειωθεὶς ἐπὶ μικρὸν πρός τε τοὺς ἀρχαίους ποιητὰς καὶ φιλοσόφους καὶ πάσας τὰς συγχρόνους δοξασίας, τὰς ἐχούσας ἀναφορὰν πρὸς τὸν χριστιανισμόν. Ὁ Τερτυλλιανὸς ἀποκαλεῖ αὐτὸν περιεργότατον ἐρευνητὴν ἁπασῶν τῶν διδασκαλιῶν ([4]), ὁ δὲ μακάριος Ἱερώνυμος παρίστησιν αὐτὸν ὡς παράδειγμα ἀγάπης πρὸς σπουδὴν τῆς φιλοσοφίας ([5]).

Ἐκ τῆς Ἀνατολῆς ὁ ἅγιος Εἰρηναῖος ἀπεστάλη εἰς Γαλλίαν ὑπὸ

([1]) Ἀλεξανδρ. χρον. ed Dindorf. 1832. p. 13.

([2]) «Καὶ Πολύκαρπος δὲ οὐ μόνον ὑπὸ Ἀποστόλων μαθητευθεὶς καὶ συναναστραφεὶς πολλοῖς τοῖς τὸν Χριστὸν ἑωρακόσιν, ἀλλὰ καὶ ὑπὸ Ἀποστόλων κατασταθεὶς εἰς τὴν Ἀσίαν, ἐν τῇ ἐν Σμύρνῃ ἐκκλησίᾳ, ἐπίσκοπος, ὃν καὶ ἡμεῖς ἑωράκαμεν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ . . . . » κατὰ αἱρέσ. βιβλ. γ΄. 4.

([3]) Κατὰ αἱρ. δ΄. 45. «Quemadmodum audivi a presbyteris, qui audierat ab his, qui Apostolos viderant». Hieron. ep. 29. ad Theodor. «Refert Irenaeus, vir apostolicorum temporum, et Papiæ, auditoris Ioannis Evangelistae, discipulus κ.τ.λ.»

([4]) Contr. Valentinian. cap. V. «Nec undique dicemur ipsi nobis finxisse materias, quos tot jam viri, sanctitate er praestantia insignes, nec solum nostri antecessores, sed ipsorum Haeresiarcharum contemporales, instructissimis voluminibus et prodiderunt, et retucerunt· ut Justinus Philosophus et Martyr, ut Miltiades Ecclesiarum Sophista, ut Irenaeus omnium doctrinarum curiosissimus explorator . . . »

([5]) Epist. ad Magn. 84.

τοῦ ἁγίου Πολυκάρπου ([1]), πιθανῶς πρὸς ἐπικουρίαν τοῦ ἁγίου Ποθεινοῦ, ἐπισκόπου Λουγδούνου, ἐν τῷ κηρύγματι τῆς πίστεως. Προχειρισθεὶς ὑπὸ τοῦ Ποθεινοῦ εἰς πρεσβύτερον ([2]), ἀνεδείχθη κατ᾽ ἐξοχὴν κατὰ τὸν ἐν Γαλλίᾳ ἐκραγέντα δεινὸν διωγμὸν (τῷ 177) θερμὸς ζηλωτὴς τῆς Διαθήκης τοῦ Χριστοῦ ([3]). Τελευτήσαντος μαρτυρικῶς ἐν τῷ διωγμῷ τούτῳ τοῦ ἁγίου Ποθεινοῦ μετὰ πολλῶν χριστιανῶν τῆς ποίμνης αὐτοῦ, ἐξελέχθη (τῷ 178) ὁ Εἰρηναῖος διάδοχος αὐτοῦ ([4]).

Ἐπίσκοπος ὤν, ἐνήργει μετὰ πλείστου ὅσου ζήλου ὑπὲρ τῆς δόξης τοῦ Κυρίου αὐτοῦ. «Ἐν βραχεῖ χρόνῳ, τῷ κηρύγματι αὐτοῦ κατέστησεν ἅπασαν τὴν πόλιν χριστιανικήν» ([5]). Ὅτε δὲ ἐπὶ τῶν ὀχθῶν τοῦ Ροδανοῦ ἤνεγκον μεθ᾽ ἑαυτῶν τὰ ζιζάνια αὐτῶν οἱ ὀπαδοὶ τοῦ Οὐαλεντίνου, ὁ ἅγιος Εἰρηναῖος κατεδίωξεν αὐτοὺς ἐν τῇ ἑαυτοῦ ποίμνῃ διὰ προφορικῶν καὶ διὰ ἐγγράφων ἐλέγχων ([6]), κατεδίωξε δὲ αὐτοὺς καὶ δι᾽ ἐπιστολῶν ἐν Ρώμῃ ([7]). Ἐν τῷ χρόνῳ τούτῳ ἐγράφη ὑπ᾽ αὐτοῦ

([1]) «Beatissimus Irenaeus, hujus successor Martyris (Pothini), qui a beato Polycarpo ad hanc urbem (Lugdunum) directus est, admirabili virtute enituit ; qui in modici temporis spatio, praedicatione sua maxime in integro civitatem reddidit Christianam. . .» Greg. Turunems. l. I. Hist. Francor. c. XXIX.

([2]) Hieron. de vir. illustr. c. XXXV. «Irenaeus Pothini episcopi, qui Lugdunensem in Gallia regebat Ecclesiam, Presbyter, a Martyribus ejusdem loci ob quasdam Ecclesiae quaestiones legatus . . .» Εὐσέβ. ἐκκλ. ἱστ. έ. 4.

([3]) Λόγοι τῶν ἐν Λουγδούνῳ ὁμολογητῶν ἐν τῇ πρὸς τὸν Ἐλευθέριον ἐπιστολῇ.

([4]) Ἴδ. τὴν αὐτὴν ἐπιστολήν. Εὐσέβ. ἐκκλ. ἱστορ. έ. 4. Hieron. de vir. illustr. c. XXXV.

([5]) Γρηγόρ. ὁ Τουρώνης ἔνθα ἀνωτέρω.

([6]) Προοίμ. εἰς τὸ Ά. βιβλ. κατὰ αἱρέσ. βιβλ. ά. κεφ. 35.

([7]) Εὐσέβ. ἐκκλησ. ἱστορ. έ. 20. «Ἐξ ἐναντίας δὲ τῶν ἐπὶ Ρώμης τὸν ὑγιῆ τῆς ἐκκλησίας θεσμὸν παραχαραττόντων, Εἰρηναῖος διαφόρους ἐπιστολὰς συντάττει, τὴν μὲν ἐπιγράψας πρὸς Βλάστον περὶ σχίσματος, τὴν δὲ πρὸς Φλωρῖνον περὶ μοναρχίας ἢ περὶ τοῦ μὴ εἶναι τὸν Θεὸν ποιητὴν κακῶν. Ταύτης γάρ τοι τῆς γνώμης οὗτος ἐδόκει προασπίζειν, δι᾽ ὃν αὖθις ὑποσυρόμενον τῇ κατὰ Οὐαλεντῖνον πλάνῃ καὶ τὸ περὶ ὀγδοάδος συντάττεται τῷ Εἰρηναίῳ σπούδασμα, ἐν ᾧ καὶ ἐπισημαίνεται τὴν πρώτην τῶν Ἀποστόλων κατειληφέναι ἑαυτὸν διαδοχὴν . . .»

τὸ περίφημον σύγγραμμα: ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως (detectio et eversio falso cognominatae agnitionis) (1).

Ὁ Ρώμης ἐπίσκοπος Βίκτωρ ἐτόλμησεν ἐξενεγκεῖν ἀφορισμὸν κατὰ πασῶν τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς, ὡς μὴ συμφωνουσῶν αὐτῷ ὡς πρὸς τὸν χρόνον τῆς ἑορτῆς τοῦ Πάσχα (2). Ὁ ἅγιος Εἰρηναῖος ἔδειξε τότε οἷον δεῖ εἶναι τὸν ἀληθῆ χριστιανὸν ποιμένα ἐν παρομοίαις περιστάσεσι. Διὰ βραχέων μέν, ἀλλὰ γενναίως ἤλεγξε τὸν φίλεριν καὶ ἀλαζόνα ἐπίσκοπον, παρέστησε δὲ τὴν πρᾶξιν αὐτοῦ ἀπᾴδουσαν τῷ χριστιανικῷ πνεύματι, ἐξέθηκε τὴν σημασίαν τῆς διαφορᾶς ὡς πρὸς ἀντικείμενα ὅμοια τῇ ἑορτῇ τοῦ Πάσχα, ἔγραψε περὶ τῆς πρὸς τοὺς ἄλλους ἐπισκόπους ἔριδος καὶ τέλος ἔπεισεν αὐτὸν συνδιαλλαγῆναι πρὸς τὴν Ἀνατολήν (3).

Ἐν τῷ δεινῷ διωγμῷ τοῦ Σεπτιμίου Σευήρου (τῷ 202) ἡ Ἐκκλησία τοῦ Λουγδούνου, εἴπερ τις καὶ ἄλλη, ὑπέστη πολλὰ δεινά (4). Ὁ ἅγιος Εἰρηναῖος ἐξεδήμησε πρὸς τὸν Κύριον Ἰησοῦν Χρι-

(1) Τὸ πρῶτον βιβλίον ἐγράφη περὶ τὸ 170, διότι ἐν αὐτῷ γίγνεται λόγος περὶ τοῦ Τατιανοῦ, τῶν Ἐγκρατιτῶν καὶ τῶν Μοντανιστῶν. Ἐν τῷ κά. κεφ. τοῦ γ΄. βιβλίου § 1 γράφει ὁ ἅγιος Εἰρηναῖος: «Nunc duodecimo loco episcopatum ab Apostolis habet Eleutherus», σύναμα δὲ ποιεῖται μνείαν τῆς μεταφράσεως τοῦ Θεοδοτίωνος, ἐκδοθείσης ἐπὶ τοῦ Κομμόδου (τῷ 184)· ὁ δὲ Ἐλευθέριος ἐτελεύτησε τῷ 192. Ἅπαν τοίνυν τὸ σύγγραμμα ἐγράφη μεταξὺ τοῦ 172ου καὶ 190ου ἔτους.

(2) Hieron. de vir. illustr. c. XLIII, XLV. Chron. ad 4 an Severi. Ἐπιφάν. αἵρ. ό· § 9. Εὐσέβ. ἐκκλ. ἱστορ. έ. 23, 24. Σωκρ. ἐκκλ. ἱστορ. έ. 22.

(3) Εὐσέβ. ἐκκλησ. ἱστορ. έ. 24. Σωκρ. έ. 19. Φιρμιλιαν. παρὰ Κυπριανῷ ἐπιστ. 76.

(4) Gregor. Turunens. Hist. Francor. l. I. c, XXVII: Veniente persecutione talia ibidem Diabolus bella per tyrannum exoruit, et tanta ibi multitudo Christianorum ob confessionem dominici nominis est jugulata, ut per plateas, flumina currerent de sanguine christiano; quorum nec numerum nec nomina colligere potuimus. Dominus enim eos in libro vita conscripsit. Beatum Irenaeum diversis in sua carnifex praesentia poenis alectum Christo Domino per martyrium dedicavit».

στὸν μετὰ πολλῶν χιλιάδων τέκνων αὐτοῦ (1), ἵνα κομίσηται τὸ γέρας τοῦ ποιμένος καὶ μάρτυρος (2).

§ 49. *Συγγράμματα τοῦ ἁγίου Εἰρηναίου· ὑπόθεσις τοῦ κατὰ αἱρέσεων συγγράμματος.*

Ὁ ἅγιος Εἰρηναῖος ἔγραψε πλεῖστα συγγράμματα, ὧν ἄλλα μὲν εἰσι γνωστὰ μόνον ἐκ τῶν ὀνομάτων, ἄλλων δὲ περιεσώθησαν βραχέα τεμάχια (3). Ἀκέραιον μέχρις ἡμῶν ἀφίκετο ἓν σύγγραμμα αὐτοῦ, τὸ κατὰ αἱρέσεων — σύγγραμμα μακρὸν καὶ σπουδαιότατον. Τὸ κατὰ αἱρέσεων σύγγραμμα, ἤ, ὡς καλεῖται ὑπ᾽ αὐτοῦ τοῦ συγγραφέως (4), ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου

(1) Ὁ ἀριθμὸς τῶν μαρτυρησάντων μετὰ τοῦ ποιμένος αὐτῶν ἀναβαίνει μέχρι τῶν 19,000. Ὁ Οὐσουάρδος ἐν τῷ μαρτυρολογίῳ: cum omni fere civitatis suae populo coronatus est glorioso martyrio (Martyrolog. ad 28. Inlii, ed. Solleri Antverpiae 1714. f.) Ἡ μνήμη τοῦ ἁγίου Εἰρηναίου τελεῖται ἐν μὲν τῇ δυτικῇ Ἐκκλησίᾳ τῇ κή. Ἰουλίου, ἐν δὲ τῇ ὀρθοδόξῳ τῇ κγ΄. Αὐγούστου.

(2) Greg. Turunens. I. cit. Hieron. ad cap. LXIV Esaiae. Quest. ad Orthod. resp. 115.

(3) Ἐν τοῖς τεμαχίοις διεσώθησαν: ἡ πρὸς τὸν *Φλωρῖνον* ἐπιστολὴ *περὶ τοῦ μὴ εἶναι τὸν Θεὸν ποιητὴν κακῶν*· 6) ἡ *πρὸς Βίκτορα* ἐπιστολὴ (Εὐσέβ. ἐκκλ. ἱστ. έ. 24)· *περὶ πίστεως* (παρὰ τῷ ἁγ. Μαξίμῳ Op. 2. 152)· δ) τεμάχιά τινα ἐξ ἄλλων συγγραμμάτων ἐξεδόθησαν μετὰ τὸν μοναχὸν Ρενάτον Μασουέτον ὑπὸ τοῦ Πφαφίου καὶ Μιουντέρου (σημ. 19)· ε) ἡ *ἐπιστολὴ* τῆς Ἐκκλησίας τοῦ Λουγδούνου (Εὐσέβ. ἐκκλ. ἱστορ. έ. 1-3), γραφεῖσα, ὡς λέγει ὁ Οἰκουμένιος, ὑπὸ τοῦ ἁγ. Εἰρηναίου (Ruin. Act. Mart. Sincera).

(4) Ἐκδόσεις. S. Irenaei adv. haeres. una cum fragmentis Paris. 1710. Renat. Massuet. cum fragmentis Pfaffi, Venet. 1734. Ἐνταῦθα συνελέγησαν καὶ ἐπιδιωρθώθησαν τὰ τεμάχια αὐτοῦ τοῦ πρωτοτύπου. Ἡ ἔκδοσις τοῦ Γραβίου ἐν Ὀξωνίῳ, καὶ αἱ τοῦ Ἐράσμου Basileae 1526, 28, 60. Paris 1545, 67 οὐκ εἰσιν ἐπιδιωρθωμέναι. Μετὰ τὸν Μασσουέτον ὁ Μιοῦντερ (Hafniae 1788), καὶ ὁ Μάϊος tom. VII. collect. auct. p. 93, 94, 106. Romae 1833, ἐξέδωκαν τεμάχιά τινα τοῦ πρωτοτύπου κειμένου. Τὸ ἑλληνικὸν κείμενον τοῦ συγγράμματος ἀνέγνωσαν ὁ Ἐπιφάνιος, ὁ Εὐσέβιος, ὁ Θεοδώρητος, καὶ ἄλλοι. Ἡ λατιν. μετάφρασις ἦν γνωστὴ τῷ Τερτυλλιανῷ καὶ Κυπριανῷ.

γνώσεως, ἐγράφη ἑλληνιστί, καὶ ὁ συγγραφεὺς ἐξαιτεῖται συγγνώμην διὰ τὸ ἀγνοεῖν τὴν τῶν λόγων τέχνην, ἀσχολούμενος, ὡς λέγει, τὸ πλεῖστον περὶ βάρβαρον διάλεκτον — τὴν λατινικήν (1). Μέχρις ἡμῶν ἀφίκετο βάρβαρος, τραχεῖα καὶ πλήρης σολοικισμῶν, ἀλλὰ πάνυ ἀρχαία λατινικὴ μετάφρασις τοῦ συγγράμματος, τὸ δὲ πρωτότυπον μόνον ἐν τεμαχίοις. Περιττὸν ἡγούμεθα ἀποδεῖξαι τὴν γνησιότητα τοῦ συγγράμματος τούτου, εἰ καὶ ὁ Σέμλερος ἤγειρε κατ᾽ αὐτῆς ἀμφιβολίας. Μέχρις ἡμῶν ἀφίκοντο ἐκλογαὶ γενόμεναι ὑπὸ τοῦ Τερτυλλιανοῦ (2), τοῦ Κυπριανοῦ (3), καὶ τοῦ Εὐσεβίου(4). Ὁ Ἐπιφάνιος μετήνεγκε κατὰ γράμμα εἰς τὸ περὶ αἱρέσεων σύγγραμμα αὐτοῦ ἅπαν τὸ πρῶτον βιβλίον τοῦ Εἰρηναίου κατὰ αἱρέσεων (5). Παραλείπομεν τὰς ἄλλας μαρτυρίας (6).

Τὸ κατὰ αἱρέσεων σύγγραμμα συνίσταται ἐκ πέντε βιβλίων. Ἐν τῷ πρώτῳ ὁ συγγραφεὺς λέγει περὶ τῶν Οὐαλεντινιανῶν, ὅτι, ὡς ἐπύθετο, ἠρανίσθησαν τὴν διδασκαλίαν αὐτῶν ἐκ πασῶν τῶν αἱρέσεων τῶν Γνωστικῶν. Ἐκτίθησι τὴν περὶ Θεοῦ, περὶ τῶν αἰώνων, περὶ τοῦ κόσμου καὶ τῆς ψυχῆς, περὶ Χριστοῦ καὶ σωτηρίας διδασκαλίαν αὐτῶν(§ 1—9)· συνάμα δὲ ἀντιτίθησιν αὐτοῖς τὴν πίστιν τῆς Ἐκκλησίας, καὶ τὸ σύμβολον τῆς πίστεως αὐτῆς (10)· δείκνυσι ἔπειτα τὰς ἀντιλογίας καὶ ἀντιφάσεις τῶν αἱρετικῶν πρὸς ἀλλήλους, καὶ ἐκτίθησι τὴν γενεαλογίαν αὐτῶν (§ 10 — 28). Ἐκθεὶς μετὰ ταῦτα δοξασίας ἔτι τινὰς τῶν Γνωστικῶν περὶ Θεοῦ καὶ κό-

---

(1) Κατὰ αἱρέσ. βιβλ. ά. προοίμ. § 3.

(2) Advers. Valentin. c. V. XXV. XXXVI. XXXVII.

(3) Ep. LXXIV. ad Pompejum.

(4) Ὁλόκληρον τμῆμα ἐκ τοῦ γ΄. βιβλίου τοῦ Εἰρηναίου· ἐκκλ. ἱστορ. ἑ. 5. 6.

(5) Κατὰ αἱρέσ. λά. κεφ. 9. 33.

(6) Βασίλειος ὁ Μ. ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος βιβλ. κεφ. κθ΄. ἀνέφερεν ἓν χωρίον· ὁ δὲ Αὐγουστῖνος l. I. contr. julian. Pelagianum C. III et VII δύο χωρία. Ὁ δὲ Θεοδώρητος (βιβλ. Α΄. αἱρ. κακομυθ. κεφ. 5.) ἑπτά. Ἰδιαίτερον σύγγραμμα περὶ τοῦ Εἰρηναίου ἔγραψεν ὁ ἐν Ἰένῃ καθηγητ. τῆς Θεολογ. Ἀδόλφος Στεῖρεν Adolphus Stieren de Irenaei adv. haers operis fontibus, indole, doctrina et dignitate. Comm. Histor. art. goetting.

σμου, περαίνει τὸ πρῶτον βιβλίον τῇ διδασκαλίᾳ τῶν Καϊανῶν (§ 29 — 31) [α].

Ἐν τῷ δευτέρῳ βιβλίῳ ἀνασκευάζει τὰ φαντάσματα τῶν Οὐαλεντινιανῶν περὶ τῶν Αἰώνων, καὶ δείκνυσι τὸ ἀνάρμοστον αὐτῶν πρὸς τὴν περὶ Θεοῦ ὀρθὴν ἔννοιαν (§ 1 — 12)· ἀναλύει τὰς περὶ Αἰώνων μερικὰς γνώμας, καὶ δείκνυσιν, ὅτι τὸ περὶ αὐτῶν δόγμα ἐρείδεται ἐπὶ ὑποθέσεων ἄνευ θεμελίων, καὶ ὅτι τὸ σύστημα τοῦτο οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ ἐθνικὴ μυθολογία ὑπὸ διάφορον μορφήν (12—19). Ἀνασκευάζει τὰς ἀποδείξεις, ἃς οὗτοι ἠρύοντο ἐκ τῆς ἁγίας Γραφῆς τῇ βοηθείᾳ τῆς ἀλληγορίας, καὶ λέγει, ὅτι τὰς ἀποδείξεις ὀφείλομεν λαμβάνειν ἐκ τῶν σαφῶν τῆς ἁγίας Γραφῆς ῥήσεων (20 — 28). Τέλος ὑποβάλλει τῇ κριτικῇ τὰς ἀνθρωπολογικὰς δοξασίας τῶν Οὐαλεντινιανῶν (29 — 35). Πρὸς δὲ τούτοις ἐλέγχων τὰς ψευδεῖς περὶ προφητειῶν δοξασίας τῶν Γνωστικῶν, ἀναφέρει τὰ ἐν τῇ Ἐκκλησίᾳ τελούμενα θαύματα. «Οἱ μὲν γάρ, λέγει περὶ τῶν συγχρόνων αὐτῷ πιστῶν, δαίμονας ἐλαύνουσι βεβαίως καὶ ἀληθῶς, ὥστε καὶ πολλάκις πιστεύειν αὐτοὺς ἐκείνους, τοὺς καθαρισθέντας ἀπὸ τῶν πονηρῶν πνευμάτων, καὶ εἶναι ἐν τῇ Ἐκκλησίᾳ. Οἱ δὲ καὶ πρόγνωσιν ἔχουσι τῶν μελλόντων, καὶ ὀπτασίας, καὶ ῥήσεις προφητικάς. Ἄλλοι δὲ τοὺς κάμνοντας διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως ἰῶνται καὶ ὑγιεῖς ἀποκαθιστᾶσιν. Ἤδη δέ, καθὼς ἔφαμεν, καὶ νεκροὶ ἠγέρθησαν, καὶ παρέμειναν σὺν ἡμῖν ἱκανοῖς ἔτεσι. Καὶ τί γάρ; Οὐκ ἔστιν ἀριθμὸν εἰπεῖν τῶν χαρισμάτων, ὧν κατὰ παντὸς τοῦ κόσμου ἡ Ἐκκλησία παρὰ Θεοῦ λαβοῦσα, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, ἑκάστης ἡμέρας ἐπ' εὐεργεσίᾳ τῇ τῶν ἐθνῶν ἐπιτελεῖ, μήτε ἐξαπατῶσα

[α] Τοὺς αἱρετικοὺς τούτους ὀνομάζει ὁ Ἐπιφάνιος (αἱρ. λή.) *Καϊανούς*· ὁ Θεοδώρητος (βιβλ. Ά. αἱρ. κακομ. κεφ. 15) *Καϊνούς*. Ὁ Κοτελέριος σημειοῖ λίαν ὀρθῶς (in not. ad tom. I monoment. Eccles. gr. col. 770), ὅτι ἀντὶ *Κανιστῶν* ἀναγνωστέον *Καϊνισταί*. Ὁ Ἐπιφάνιος (αὐτόθ.) λέγει περὶ τῶν αἱρετικῶν τούτων: «Οὗτοί φασι τὸν Κάϊν ἐκ τῆς ἰσχυροτέρας δυνάμεως ὑπάρχειν καὶ τῆς ἄνωθεν αὐθεντίας». Ὁ Θεοδώρητος: «ἄλλοι δὲ — καὶ νῦν τὸν Κάϊν φασὶν ἐκ τῆς ἄνωθεν αὐθεντίας λελυτρῶσθαι». Σ. Μ.

τινάς, μήτε ἐξαργυριζομένη. Ὡς γὰρ δωρεὰν εἴληφε παρὰ Θεοῦ, δωρεὰν καὶ διακονεῖ».

Ἐν τῷ τρίτῳ βιβλίῳ ὁ ἅγιος Εἰρηναῖος ἀνασκευάζει τὰς κακοδοξίας διὰ τοῦ κύρους τῆς ἁγίας Γραφῆς, ἐνῷ μέχρι τούτου κατεπολέμει τοὺς αἱρετικούς, δεικνὺς τὸ ἀσύμφωνον τῶν δοξασιῶν αὐτῶν τῷ ὀρθῷ λόγῳ: «Οὐ γὰρ δι' ἄλλων τὴν τῆς σωτηρίας ἡμῶν οἰκονομίαν ἐγνώκαμεν, ἀλλ' ἢ δι' ὧν τὸ Εὐαγγέλιον κατελήλυθε πρὸς ἡμᾶς, ὃ τότε μὲν ἐκήρυσσον, ὕστερον δὲ διὰ θελήματος Θεοῦ ἐν Γραφαῖς ἡμῖν παραδεδώκασιν, ἑδραίωμα καὶ στύλον τῆς πίστεως ἡμῶν ἐσόμενον . . . » Ἔπειτα δ' ἐπάγει ἱστορικὴν μαρτυρίαν περὶ τῆς τάξεως τῆς καταγωγῆς τῶν τεσσάρων Εὐαγγελίων. «Ὁ μὲν δὴ Ματθαῖος ἐν τοῖς Ἑβραίοις τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν καὶ γραφὴν ἐξήνεγκεν Εὐαγγελίου, τοῦ Πέτρου καὶ τοῦ Παύλου ἐν Ρώμῃ εὐαγγελιζομένων καὶ θεμελιούντων τὴν Ἐκκλησίαν. Μετὰ δὲ τὴν τούτων ἔξοδον, Μάρκος ὁ μαθητὴς καὶ ἑρμηνευτὴς Πέτρου, καὶ αὐτὸς τὰ ὑπὸ Πέτρου κηρυσσόμενα ἐγγράφως ἡμῖν παραδέδωκε. Καὶ Λουκᾶς δέ, ὁ ἀκόλουθος Παύλου, τὸ ὑπ' ἐκείνου κηρυσσόμενον Εὐαγγέλιον ἐν βιβλίῳ κατέθετο. Ἔπειτα Ἰωάννης, ὁ μαθητὴς τοῦ Κυρίου, ὁ καὶ ἐπὶ τὸ στῆθος αὐτοῦ ἀναπεσών, καὶ αὐτὸς ἐξέδωκε τὸ Εὐαγγέλιον, ἐν Ἐφέσῳ τῆς Ἀσίας διατρίβων» (§1). Καταδείξας δὲ ὅτι οἱ αἱρετικοὶ ἐλεγχόμενοι ὑπὸ τῆς Γραφῆς, τρέπονται εἰς τὴν παράδοσιν, ἐλεγχόμενοι δὲ ὑπὸ τῆς παραδόσεως, εἰς τὴν Γραφήν, λέγει, ὅτι ἡ παράδοσις τηρεῖται μόνον ἐν τῇ Ἐκκλησίᾳ, ἐν ᾗ εἰσιν οἱ ἀληθεῖς τῶν Ἀποστόλων διάδοχοι, οὓς καὶ ἀπαριθμεῖ (2.3.). Λόγον ποιούμενος περὶ τῆς ἁγίας Γραφῆς, ἑρμηνεύει διαφόρους ῥήσεις. Καὶ ἐπειδὴ οἱ τότε αἱρετικοί, ὡς καὶ οἱ καθ' ἡμᾶς νεωτερισταί, πρὸς δικαιολογίαν τῶν αὐθαιρέτων αὐτῶν δοξασιῶν ἔλεγον, ὅτι οἱ Ἀπόστολοι ἐν τῇ διδασκαλίᾳ αὐτῶν συνεμορφοῦντο ταῖς τοῦ λαοῦ δοξασίαις, ὁ ἅγ. Εἰρηναῖος ἀντιτίθησιν αὐτοῖς: «Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν ἡ ἀλήθεια (Ἰωάν. ιδ'. 6), καὶ ψεῦδος ἐν αὐτῷ οὐκ ἔστι . . . Καὶ οἱ Ἀπόστολοι δὲ μαθηταὶ τῆς ἀληθείας ὄντες, εἰσὶν ἐκτὸς παντὸς ψεύδους. Οὐ γὰρ ἔχει ἡ ἀλήθεια κοινωνίαν τῷ ψεύδει, ὥσπερ τὸ φῶς τῷ σκότει, ἀλλ' ἡ παρουσία τοῦ ἑνὸς ἀποκλείει

τὸ ἕτερον... Ἐνταῦθα ἰδίως ἐφαρμόζει τὸν νόμον, τὸν λέγοντα: ἐ π ι κ α τ ά ρ α τ ο ς ὁ π λ α ν ῶ ν τ υ φ λ ὸ ν ἐ ν ὁ δ ῷ (Δευτερ. κζ΄. 18). Διότι ἀποσταλέντες οἱ Ἀπόστολοι ἵνα εὕρωσι τοὺς πλανωμένους, καὶ φωτίσωσι τοὺς τυφλούς, ἠδύναντο ἆρά γε λαλεῖν κατὰ τὰς δοξασίας αὐτῶν, καὶ οὐχὶ κατ᾽ αὐτὴν ταύτην τὴν ἀλήθειαν; Καὶ οἱ ἄνθρωποι ἐφέροντο ἂν οὐκ ὀρθῶς, εἰ μὴ συνεβούλευον τυφλοῖς μέλλουσι πεσεῖν εἰς βάραθρον, καταλιπεῖν τὰς ἐπικινδύνους ὁδούς. ... ὁ Κύριός ἐστιν ἰατρὸς παραγενόμενος εἰς τὸ θεραπεῦσαι τοὺς κακῶς ἔχοντας. Αὐτὸς οὗτος λέγει: «Οὐ γὰρ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες». «Οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν» (Λουκ. έ. 31. 32) ... ὁ Κύριος μετεδίδω τοῖς μαθηταῖς Αὐτοῦ τὴν γνῶσιν καὶ δι᾽ αὐτῆς ἐθεράπευε τοὺς πάσχοντας, καὶ ἀπέτρεπε τοὺς ἁμαρτωλοὺς τοῦ ἁμαρτάνειν» (§ 5). Περαιτέρω ἐξετάζει τὴν περὶ τοῦ Δημιουργοῦ τοῦ κόσμου διδασκαλίαν τῆς ἁγίας Γραφῆς (§ 6 — 15). Ἐρειδόμενος δὲ ἐπὶ τῆς διδασκαλίας τῶν Ἀποστόλων, ἀνασκευάζει τὴν περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ διδασκαλίαν τῶν Γνωστικῶν, δεικνύς, ὅτι εἷς καὶ ὁ αὐτός ἐστιν ὁ Ἰησοῦς Χριστὸς ἀληθὴς Θεὸς καὶ ἀληθὴς ἄνθρωπος· ἀναλύει ἔπειτα τὴν προφητείαν τοῦ Ἡσαΐου περὶ τῆς γεννήσεως τοῦ Ἐμμανουὴλ ἐκ τῆς Παρθένου, καὶ δείκνυσι τὸν σκοπὸν τῆς ἐπὶ γῆς ἐλεύσεως τοῦ Χριστοῦ (16—25).

Ἐν τῷ τετάρτῳ βιβλίῳ, ἀποδεικνὺς κατὰ τῶν αἱρετικῶν, ὅτι, κατὰ τὴν διδασκαλίαν τοῦ Σωτῆρος καὶ τῶν Προφητῶν, εἷς ἐστιν ὁ Δημιουργὸς Θεός, ἑρμηνεύει πόθεν ἐξαρτᾶται ἡ συμφωνία τῆς Π. Διαθήκης πρὸς τὴν Καινήν, καὶ ἰδίως δείκνυσιν, ὅτι ὁ Χριςὸς ἐνεφανίζετο καὶ ἀπεκάλυπτε τὰς ἀληθείας τοῖς Πατριάρχαις καὶ τοῖς Προφήταις, καὶ ὅτι ἐπλήρωσεν, ἀλλ᾽ οὐ κατέλυσε τὸν νόμον (1—12)· δείκνυσι τὴν ὑπεροχὴν τοῦ Εὐαγγελικοῦ νόμου ὡς πρὸς τὰς διδασκαλίας τῆς Παλαιᾶς Διαθήκης (13 — 28)· διὰ δὲ τῆς πληρώσεως τῶν προφητειῶν ἐν τῇ Καινῇ Διαθήκῃ πιστοῖ τὸν σύνδεσμον τῶν Διαθηκῶν (29 — 36). Τέλος ὑπερασπίζων τὴν ἐλευθερίαν τοῦ ἀνθρώπου, λύει τὸ ζήτημα: Διὰ τί ὁ Θεὸς οὐκ ἐποίησεν ἐν τῇ ἀρχῇ τὸν ἄνθρωπον παντελῶς ἀμετάπτωτον, ἀλλ᾽ ἐπιτήδειον πρὸς τὸ ἀγαθὸν καὶ τὸ κακόν; (37 — 41).

Ἐν τῷ πέμπτῳ βιβλίῳ ἀποδείκνυσι τῷ Οὐαλεντίνῳ τὴν ἀνάστασιν τῶν νεκρῶν τῇ δυνάμει τῆς Εὐχαριστίας: «Ὁπότε οὖν καὶ τὸ κεκραμένον ποτήριον καὶ ὁ γεγονὼς ἄρτος ἐπιδέχεται τὸν Λόγον τοῦ Θεοῦ, καὶ γίνεται ἡ Εὐχαριστία σῶμα Χριστοῦ, ἐκ τούτων δὲ αὔξει καὶ συνίσταται ἡ τῆς σαρκὸς ἡμῶν ὑπόστασις· πῶς δεκτικὴν μὴ εἶναι λέγουσι τὴν σάρκα τῆς δωρεᾶς τοῦ Θεοῦ, ἥτις ἐστι ζωὴ αἰώνιος, τὴν ἀπὸ τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου τρεφομένην, καὶ μέλος Αὐτοῦ ὑπάρχουσαν; Καθὼς ὁ μακάριος Παῦλός φησιν ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ, ὅτι μέλη ἐσμὲν τοῦ σώματος, ἐκ τῆς σαρκὸς Αὐτοῦ καὶ ἐκ τῶν ὀστέων Αὐτοῦ· οὐ περὶ πνευματικοῦ τινος καὶ ἀοράτου ἀνθρώπου λέγων ταῦτα· τὸ γὰρ πνεῦμα οὔτε ὀστέα, οὔτε σάρκα ἔχει· ἀλλὰ περὶ τῆς κατὰ τὸν ἀληθινὸν ἄνθρωπον οἰκονομίας, τῆς ἐκ σαρκὸς καὶ νεύρων καὶ ὀστέων συνεστώσης, ἥτις καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ, ὅ ἐστι τὸ αἷμα Αὐτοῦ, τρέφεται, καὶ ἐκ τοῦ ἄρτου, ὅ ἐστι τὸ σῶμα Αὐτοῦ, αὔξεται. Καὶ ὅνπερ τρόπον τὸ ξύλον τῆς ἀμπέλου κλιθὲν εἰς τὴν γῆν τῷ ἰδίῳ καιρῷ ἐκαρποφόρησε, καὶ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν καὶ διαλυθείς, πολλοστὸς ἠγέρθη διὰ τοῦ πνεύματος τοῦ Θεοῦ τοῦ συνέχοντος τὰ πάντα· ἔπειτα δὲ διὰ τῆς σοφίας τοῦ Θεοῦ εἰς χρῆσιν ἐλθόντα ἀνθρώπων, καὶ προσλαμβανόμενα τὸν Λόγον τοῦ Θεοῦ, Εὐχαριστία γίνεται, ὅπερ ἐστι σῶμα καὶ αἷμα τοῦ Χριστοῦ· οὕτω καὶ τὰ ἡμέτερα σώματα ἐξ αὐτῆς τρεφόμενα καὶ τεθέντα εἰς τὴν γῆν καὶ διαλυθέντα ἐν αὐτῇ ἀναστήσεται ἐν τῷ ἰδίῳ καιρῷ, τοῦ Λόγου τοῦ Θεοῦ τὴν ἔγερσιν αὐτοῖς χαριζομένου εἰς δόξαν Θεοῦ καὶ Πατρός· ὃς ὄντως τῷ θνητῷ τὴν ἀθανασίαν περιποιεῖ, καὶ τῷ φθαρτῷ τὴν ἀφθαρσίαν προχαρίζεται, ὅτι δύναμις τοῦ Θεοῦ ἐν ἀσθενείᾳ τελειοῦται· ἵνα μὴ ὡς ἐξ ἡμῶν αὐτῶν ἔχοντες τὴν ζωήν, φυσηθῶμεν καὶ ἀπαρθῶμέν ποτε κατὰ τοῦ Θεοῦ, ἀχάριστον ἔννοιαν ἀναλαβόντες . . .» Τὸ αὐτὸ δείκνυσι διὰ τῆς παντοδυναμίας τοῦ Θεοῦ καὶ τῆς ἐν τῷ σώματι τοῦ πιστεύοντος ἐνοικήσεως τῆς χάριτος (3—10). Εἰς ἔλεγχον τοῦ αὐτοῦ Οὐαλεντίνου διασαφηνίζει τὴν διδασκαλίαν περὶ τῆς πρώτης ἁμαρτίας καὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ (11—17), περὶ τῶν σχέσεων τῶν πιστῶν πρὸς τὸν Ἰησοῦν Χριστόν, καὶ πρὸς τὸν ἄρχοντα τοῦ σκότους, τὸν διάβολον, περὶ

τῶν τελευταίων πραγμάτων, τῶν μελλόντων συμβῆναι, τῆς ἐμφανίσεως καὶ τοῦ προσώπου τοῦ Ἀντιχρίστου, τοῦ τέλους τοῦ κόσμου καὶ τῆς μετὰ τὸν θάνατον καταστάσεως τῶν ψυχῶν. Ἐνταῦθα ὡσαύτως τέθεινται αἱ περὶ χιλιασμοῦ δοξασίαι τοῦ Ὠριγένους (18 — 36). Τοιαύτη ἐστὶν ἡ ὑπόθεσις τοῦ κατὰ αἱρέσεων μακροῦ συγγράμματος! [*].

§ 50. *Χαρακτὴρ τοῦ ἁγίου Εἰρηναίου ὡς διδασκάλου· σπουδαιότης τῶν συγγραμμάτων αὐτοῦ.*

Ὁ ἅγιος Εἰρηναῖος ἐν τῷ πρὸς τοὺς αἱρετικοὺς ἀγῶνι ποιεῖται χρῆσιν ἁπάσης τῆς πολυμαθείας αὐτοῦ, καταδιώκει μετὰ διαλεκτικῆς ἀκριβείας τοὺς ἐχθροὺς ἐν πᾶσιν αὐτῶν τοῖς διανοήμασι· πανταχοῦ δὲ ἐκδηλοῖ κατ' ἐξοχὴν ὡς ἰδιάζοντα χαρακτῆρα τὴν ἁπλῆν τῆς ψυχῆς ἀγάπην πρὸς τὴν ἀποστολικὴν παράδοσιν [**].

[*] Περὶ τοῦ συγγράμματος τούτου ὁ μέγας Φώτιος λέγει τάδε: «Ἀνεγνώσθη βιβλίον Εἰρηναίου, ἐπισκόπου Λουγδούνων (ἐν Κελτοῖς δὲ τὰ Λούγδουνα), λόγοι ε΄. οὗ ἡ ἐπιγραφὴ *ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως*», τοῦτο δέ ἐστι κατὰ αἱρέσεων· ὧν ὁ πρῶτος, διαλαμβάνων περὶ Οὐαλεντίνου καὶ τῆς κατ' αὐτὸν ἀθέου πλάνης, ἀπάρχεται, ὥσπερ ἀναποδίζων καὶ ἄνωθεν διεξιὼν ἀπὸ Σίμωνος τοῦ Μάγου μέχρι Τατιανοῦ, ὃς τὰ πρῶτα μαθητὴς Ἰουστίνου τοῦ μάρτυρος χρηματίσας, ὕστερον εἰς πλάνην ἐξεκυλίσθη αἱρέσεως· ἔτι δὲ διαλαμβάνει περὶ τῶν ἰδίως γνωστικῶν καλουμένων καὶ τῶν Καϊνῶν, τὰ βδελυρὰ αὐτῶν ἐκτιθεὶς δόγματα· ἐν οἷς καὶ ὁ πρῶτος λόγος· ὁ δὲ δεύτερος ἀνατροπὴν περιέχει τῶν τοῖς αἱρεσιώταις ἀσεβῶν δογματιζομένων· ὁ δὲ τρίτος καὶ γραφικὰς κατ' αὐτῶν προκομίζει παντοδαπὰς μαρτυρίας· ὁ δὲ τέταρτος τὰς παρὰ τῶν αἱρετικῶν προτεινομένας ἀπορίας διαλύει, καὶ ὁ πέμπτος δέ, ὅσα διὰ παραβολῶν ἐλέχθη τε καὶ ἐπράχθη ὑπὸ τοῦ Κυρίου, ἐκ τῶν ὑπολοίπων τῆς σωτηριώδους αὐτοῦ διδασκαλίας καὶ ἐκ τῶν ἀποστολικῶν ἐπιστολῶν ταῖς αἱρετικαῖς τερθρείαις εἰς ἔλεγχον ἁρμόζειν παρίστησι» (ἀνάγν. ρκ΄.) Σ. Μ.

[**] «Ὁ ἅγιος Εἰρηναῖος, λέγει ὁ σοφὸς J. Moehler, ἐστὶν ἀναμφηρίστως εἷς τῶν ἐξοχωτάτων τῆς Ἐκκλησίας Πατέρων. Ὑπερεῖχε κατὰ τὴν πολυμάθειαν πάντας τοὺς πρὸ αὐτοῦ ἀναλαβόντας τὴν ὑπεράσπισιν τῆς Ἐκκλησίας. Ὡς πρὸς τὴν καθαρότητα τῆς κρίσεως, τὴν ἐπιτηδειότητα καὶ τὴν δεινότητα τοῦ πνεύματος, δύναται τεθῆναι παρὰ τῷ Ὠριγένει, ἐν ᾧ ὡς πρὸς τὸν τρόπον τοῦ καταλαμβάνειν

Τοῦτο τὸ διακριτικὸν αὐτοῦ πνεῦμα ἐξέθηκεν αὐτὸς ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ, γράφων περὶ ἑαυτοῦ ἤδη ἐν προβεβηκυίᾳ ἡλικίᾳ ὡς ἑξῆς: «Εἶδον γάρ σε (τὸν Φλωρῖνον) παῖς ἔτι ὢν ἐν τῇ κάτω Ἀσίᾳ παρὰ Πολυκάρπῳ, λαμπρῶς πράσσοντα ἐν τῇ βασιλικῇ αὐλῇ καὶ πειρώμενον εὐδοκιμεῖν παρ' αὐτῷ. Μᾶλλον γὰρ τὰ τότε διαμνημονεύω τῶν ἔναγχος γενομένων. Αἱ γὰρ ἐκ παίδων μαθήσεις συναύξουσαι τῇ ψυχῇ, ἑνοῦνται αὐτῇ, ὥς τε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον, ἐν ᾧ καθεζόμενος, διελέγετο ὁ μακάριος Πολύκαρπος, καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους, καὶ τὸν χαρακτῆρα τοῦ βίου, καὶ τὴν τοῦ σώματος ἰδέαν, καὶ τὰς διαλέξεις, ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος, καὶ τὴν μετὰ Ἰωάννου συναναστροφήν, ὡς ἀπήγγελλε, καὶ τὴν μετὰ τῶν λοιπῶν τῶν ἑωρακότων τὸν Κύριον, καὶ ὡς ἀπεμνημόνευε τοὺς λόγους αὐτῶν, καὶ περὶ τοῦ Κυρίου, τίνα ἦν, ἃ παρ' ἐκείνων ἀκηκόει, καὶ περὶ τῶν δυνάμεων αὐτοῦ, καὶ περὶ τῆς διδασκαλίας, ὡς παρὰ τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ Λόγου παρηλειφὼς ὁ Πολύκαρπος ἀπήγγελλε πάντα σύμφωνα ταῖς γραφαῖς. Ταῦτα καὶ τότε διὰ τὸ ἔλεος τοῦ Θεοῦ τὸ ἐπ' ἐμοὶ γεγονὸς σπουδαίως ἤκουον, ὑπομνηματιζόμενος αὐτὰ οὐκ ἐν χάρτῃ ἀλλ' ἐν τῇ ἐμῇ καρδίᾳ, καὶ ἀεὶ διὰ

καὶ πραγματεύεσθαι τὰ δόγματα, πρὸ πάντων κατὰ τῶν αἱρετικῶν, οὐδεὶς τῶν Πατέρων τῶν ἑπομένων αἰώνων ὑπερέβαλεν αὐτόν. Δόγματά τινα μάλιστα, ἅτινα μέχρις αὐτοῦ οὐκ ἀνεπτύχθησαν, ἢ τοὐλάχιστον οὐχ οὕτως ἐκτεταμένως, οὐ μόνον ἐκτίθενται ὑπ' αὐτοῦ πιστότατα, ἀλλ' ἔτι ἀναπτύσσεται ἄριστα ἡ σπουδαιότης αὐτῶν διὰ τὸν ὀργανικὸν σύνδεσμον τῆς χριστιανικῆς διδασκαλίας. Ἡ φράσις αὐτοῦ, ἁπλῆ καὶ ἄνευ τέχνης, μεταβάλλεται εἰς δεινὴν διαλεκτικὴν ἕνεκα τῆς ζωηρότητος καὶ τῆς λεπτότητος τοῦ πνεύματος αὐτοῦ καὶ αἱ ἀποδείξεις αὐτοῦ, πάνυ ὀλίγων ἐξαιρουμένων, εἰσὶν ἀείποτε νικηφόροι καὶ ἀναμφισβήτητοι. Τὰ χαρίσματα ταῦτα κατέστησαν τὸν Εἰρηναῖον ἕνα τῶν λαμπροτάτων τῆς Ἐκκλησίας φωστήρων, καὶ ὁ Θεοδώρητος ἀποκαλεῖ αὐτὸν ὀρθότατα *φωστῆρα Γαλατῶν τῶν Ἑσπερίων*. Ἀλλὰ τὸ πρώτιστον αὐτοῦ πλεονέκτημα, ὡς συγγραφέως, ἐστίν, ὅτι πρῶτος ἀνεγνώρισε τὴν σπουδαιότητα τῆς ἀρχῆς τῆς καθολικῆς παραδόσεως, ἀνέπτυξεν ἅπασαν αὐτῆς τὴν ἀξίαν, καὶ ἐχρήσατο αὐτῇ ὡς ὅπλῳ ἀηττήτῳ κατὰ τῶν αἱρετικῶν» Patrolog T. I. (p. 311-12 de la trad française). Σ. Μ.

τὴν χάριν τοῦ Θεοῦ γνησίως αὐτὰ ἀναμαρυκῶμαι...»(1). Γενόμενος μάρτυς τῶν ὀλεθρίων ἐπακολουθημάτων, εἰς ἃ ἦγεν ὁ εὐφαντασίωτος γνωστικισμός, ἐπιχειρήσας μεταμορφῶσαι τὴν διδασκαλίαν τοῦ Χριστοῦ, πρὸ παντὸς ἄλλου παρῄνει ἐπιστραφῆναι πρὸς τὴν ἁπλῆν πίστιν εἰς τὸν Λόγον τοῦ Θεοῦ καὶ πρὸς τὴν χειραγωγίαν τῆς Ἐκκλησίας. «Ὁ ὑγιής, λέγει, νοῦς καὶ ἀκίνδυνος καὶ εὐλαβὴς καὶ φιλαλήθης, ὅσα ἐν τῇ τῶν ἀνθρώπων ἐξουσίᾳ δέδωκεν ὁ Θεὸς καὶ ὑποτέταχε τῇ ἡμετέρᾳ γνώσει, ταῦτα προθύμως ἐκμελετήσει, καὶ ἐν αὐτοῖς προκόψει, διὰ τῆς καθημερινῆς ἀσκήσεως ῥᾳδίαν τὴν μάθησιν ἑαυτῷ ποιούμενος. Ἔστι δὲ ταῦτα τά τε ὑπ' ὄψιν πίπτοντα τὴν ἡμετέραν, καὶ ὅσα φανερῶς καὶ ἀναμφιβόλως αὐτολεξεὶ ἐν ταῖς Θείαις Γραφαῖς λέλεκται» (κατὰ αἱρ. βιβλ. β'. κεφ. 27). «Ἄμεινον καὶ συμφορώτερον, ἰδιώτας καὶ ὀλιγομαθεῖς ὑπάρχειν καὶ διὰ τῆς ἀγάπης πλησίον γενέσθαι τοῦ Θεοῦ, ἢ πολυμαθεῖς καὶ ἐμπείρους δοκοῦντας εἶναι, βλασφήμους εἰς τὸν ἑαυτῶν εὑρίσκεσθαι δεσπότην» (βιβλ. β'. κεφ. 26). Ἀναφέρων μετὰ ταῦτα τοὺς λόγους τοῦ Ἀποστόλου: «ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ», ἑρμηνεύει τὴν ἔννοιαν τοῦ Ἀποστόλου καὶ τὴν ἑαυτοῦ περὶ τῆς σημασίας τῆς γνώσεως ὧδε: Et ideo Paulus clamavit *scientia*. ... non quia veram scientiam de Deo culparet, alio quin se ipsum primum accusaret; sed quia sciebat quosdam sub occasione scientiae elatos excidere a dilectione Dei, et ob hoc opinari se ipsos esse perfectos, imperfectum autem Demiurgum introducentes, abscidens eorum ob hujusmodi scientiam supercilium, ait: *Scientia* ...» (2). Ταῖς ἐσφαλμέναις τῶν Γνωστικῶν δοξασίαις ἀντιτίθησι τὴν μίαν ἀλήθειαν τοῦ Χριστοῦ, τὴν ἀνὰ πᾶσαν τὴν οἰκουμένην κηρυσσομένην ὑπὸ τῆς Ἐκκλησίας. «Τοῦτο τὸ κήρυγμα παρειληφυῖα καὶ ταύτην τὴν πίστιν, ὡς προέφαμεν, ἡ Ἐκκλησία, καίπερ ἐν ὅλῳ τῷ κόσμῳ διεσπαρμένη, ἐπιμελῶς φυλάσσει, ὡς ἕνα οἶκον οἰκοῦσα· καὶ ὁμοίως πιστεύει τούτοις, ὡς μίαν ψυχὴν καὶ τὴν αὐτὴν ἔχουσα καρδίαν, καὶ συμφώνως ταῦτα κηρύσσει καὶ διδάσκει καὶ παραδίδωσιν

(1) Ἐπιστ. πρὸς Φλωρῖνον παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. ε'. 20.

(2) Κατὰ αἱρέσ. βιβλ. β'. κεφ. 26.

ὡς ἓν στόμα κεκτημένη. Καὶ γὰρ αἱ κατὰ τὸν κόσμον διάλεκτοι ἀνόμοιαι, ἀλλ' ἡ δύναμις τῆς παραδόσεως μία καὶ ἡ αὐτή. Καὶ οὔτε αἱ ἐν Γερμανίαις ἱδρυμέναι ἐκκλησίαι ἄλλως πεπιστεύκασιν, ἢ ἄλλως παραδιδόασιν, οὔτε ἐν ταῖς Ἰβηρίαις, οὔτε ἐν Κελτοῖς, οὔτε κατὰ τὰς Ἀνατολάς, οὔτε ἐν Αἰγύπτῳ, οὔτε ἐν Λιβύῃ, οὔτε αἱ κατὰ τὰ μέσα τοῦ κόσμου ἱδρυμέναι· ἀλλ' ὥςπερ ὁ Ἥλιος, τὸ κτίσμα τοῦ Θεοῦ, ἐν ὅλῳ τῷ κόσμῳ εἷς καὶ ὁ αὐτός, οὕτω καὶ τὸ κήρυγμα τῆς ἀληθείας πανταχῇ φαίνει καὶ φωτίζει πάντας ἀνθρώπους τοὺς βουλομένους εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Καὶ οὔτε ὁ πάνυ δυνατὸς ἐν λόγῳ τῶν ἐν ταῖς ἐκκλησίαις προεστώτων, ἕτερα τούτων ἐρεῖ· (οὐδεὶς γὰρ ὑπὲρ τὸν διδάσκαλον) οὔτε ὁ ἀσθενὴς ἐν τῷ λόγῳ ἐλαττώσει τὴν παράδοσιν. Μιᾶς γὰρ καὶ τῆς αὐτῆς πίστεως οὔσης, οὔτε ὁ πολὺ περὶ αὐτῆς δυνάμενος εἰπεῖν ἐπλεόνασεν, οὔτε ὁ τὸ ὀλίγον ἠλαττόνησεν» (1). Ὡς βάσιν τοῦ ὅτι ἐν τῇ Ἐκκλησίᾳ τηρεῖται μία καὶ ἡ αὐτὴ πίστις, ἐπάγει δύο ἀληθείας: Ἐν τῇ Ἐκκλησίᾳ ἐστὶν ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐν αὐτῇ τίθενται ὑπὸ τοῦ αὐτοῦ Πνεύματος τοῦ Θεοῦ οἱ διδάσκαλοι τῆς πίστεως. Ἐν τῇ Ἐκκλησίᾳ, λέγει τοῖς τοῦ Ἀποστόλου λόγοις, ὁ Θεὸς ἔθετο Ἀποστόλους, Προφήτας, Διδασκάλους (Κορινθ. Α'. ιβ'. 28). «Ὅπου γὰρ ἡ Ἐκκλησία, ἐκεῖ καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, καὶ ὅπου τὸ Πνεῦμα τοῦ Θεοῦ, ἐκεῖ ἡ Ἐκκλησία καὶ πᾶσα χάρις»(2). «Διὸ ὑπακούειν δεῖ τοῖς ἐν τῇ Ἐκκλησίᾳ τοῖς πρεσβυτέροις, τοῖς τὴν διαδοχὴν ἔχουσι παρὰ τῶν Ἀποστόλων, καθάπερ ἐδείξαμεν· οἳ σὺν τῇ διαδοχῇ τῆς ἐπισκοπῆς, τὸ χάρισμα τῆς ἀληθείας βέβαιον κατ' εὐδοκίαν τοῦ Πατρὸς εἰλήφασι» (3). Τὸ ἐρείδεσθαι, λέγει, ἐπὶ τῆς Θείας Γραφῆς, ἥτις ἐστὶν ἡ γνωστὴ καὶ ἀναμφισβήτητος ἀλήθεια—δηλοῖ οἰκοδομῆ-

(1) Αὐτόθ. βιβλ. ά. κεφ. 10. §2.

(2) lib. III. c. 24. «Ubi enim Ecclesia, ibi et Spiritus Dei· et ubi Spiritns Dei, illic Ecclesia, et omnis gratia».

(3) lib. IV. c. 26. «Quapropter eis, qui in Ecclesia sunt, presbyteris obaudire oportet, his, qui successionem habent ab Apostolis, sicut ostendimus· qui cum episcopatus successione charisma veritatis certum, secundum placitum Patris, acceperunt.

σαι τὸν ἴδιον οἶκον ἐπὶ στερεᾶς πέτρας· τὸ δὲ ἐρείδεσθαι ἐπὶ δοξασιῶν τινῶν—δηλοῖ—παρασκευάζειν ὄλεθρον.

Περὶ δὲ τοῦ Κανόνος τῶν βιβλίων τῆς Π. Διαθήκης ὁ ἅγιος Εἰρηναῖος οὐδόλως ποιεῖται μνείαν ὡς ὡρισμένου ὑπὸ τῆς Ἐκκλησίας· ἀλλὰ περὶ τῶν Εὐαγγελίων λέγει ρητῶς, ὅτι οὐκ εἰσὶ πλείω οὐδὲ ἐλάσσω τῶν τεσσάρων(1). Τὴν Ἀποκάλυψιν καὶ τὰς τρεῖς ἐπιστολὰς τοῦ Ἰωάννου ἀναφέρει ὑπὸ τὸ ὡρισμένον ὄνομα τῶν συγγραμμάτων Ἰωάννου τοῦ μαθητοῦ τοῦ Κυρίου(2). Ἐν τῷ κατὰ αἱρέσεων συγγράμματι οὐδενὸς μνημονεύει χωρίου ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς· ἀλλὰ περὶ αὐτῆς ἐποιήσατο λόγον, κατὰ τὴν μαρτυρίαν τοῦ Εὐσεβίου, ἐν τῷ μὴ ἀφικομένῳ μέχρις ἡμῶν βιβλίῳ τῶν διαφόρων διαλέξεων (3).

Τὸν ἐξαίρετον αὐτοῦ ἔλεγχον κατὰ πάντων τῶν μεταρρυθμιστῶν τῆς πίστεως, τῶν ἐπιχειρούντων διορθῶσαι τὴν διδασκαλίαν τῶν Ἀποστόλων, ὡς δῆθεν γραψάντων μόνον συνῳδὰ τῷ χρόνῳ αὐτῶν, εἴδομεν ἤδη (4). Ἰδοὺ προσέτι οἱ λόγοι αὐτοῦ περὶ τῆς αὐτῆς ὑποθέσεως: «Οὐ γὰρ θέμις λέγειν, ὅτι οἱ Ἀπόστολοι ἐκήρυξαν πρὶν ἢ τελείαν λάβωσι τὴν γνῶσιν, ὥςτινες τολμῶσι λέγειν, καυχώμενοι διορθωταὶ εἶναι τῶν Ἀποστόλων. Μετὰ γὰρ τὸ ἀναστῆναι τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν, ἐνδυσάμενοι, ἐπερχομένου Πνεύματος ἁγίου, δύναμιν ἐξ ὕψους, περὶ πάντων ἐπληροφορήθησαν καὶ ἔσχον τελείαν γνῶσιν· ἐξῆλθον εἰς τὰ πέρατα τῆς γῆς, τὰ παρὰ τοῦ Θεοῦ ἡμῖν ἀγαθὰ εὐαγ-

(1) Βιβλ. γ΄. κεφ. 1. § 1. κεφ. 11. §. 7. 8. 9.

(2) Περὶ τῆς Ἀποκαλύψ. βιβλ. δ΄. 20. Περὶ τῶν ἐπιστολ. γ΄. κεφ. 16. Σημειωτέον ἔτι, ὅτι ἀναφέρων λέξεις ἐκ τῆς Α΄. καὶ τῆς Β΄. ἐπιστ. προστίθησι τάδε: «Ὁ μαθητὴς αὐτοῦ Ἰωάννης ἐν τῇ προμνημονευθείσῃ ἐπιστολῇ ἐντέλλεται», διὰ τούτου δὲ ἀναγκάζει πιστεῦσαι, ὅτι ἡ Β΄. καὶ ἡ Γ΄. ἐπ. τοῦ Ἰωάννου διὰ τὴν βραχύτητα αὐτῶν ἀπετέλουν παράρτημα τῆς Α΄. ἐν τῷ ἀπογράφῳ τοῦ ἁγίου Εἰρηναίου καὶ βεβαίως οὐ μόνον αὐτοῦ. Λέξεις ἐκ τῆς καθολ. ἐπ. τοῦ Ἰακώβου (βιβλ. δ΄. 1. σελ. 246 ἐ. 1. σελ. 292) καὶ τῆς Β΄. τοῦ Πέτρου (βιβλ. ε΄. 23. σελ. 321. ε΄. 28.) ἀναφέρονται ἄνευ τοῦ ὀνόματος τοῦ συγγραφέως.

(3) Εὐσέβ. ἐκκλ. ἱστορ. ἐ. 26.

(4) Ἴδ. τὴν ὑπόθ. τοῦ γ΄. βιβλ.

γελιζόμενοι καὶ οὐράνιον εἰρήνην τοῖς ἀνθρώποις· ἀπαγγέλλοντες, ἅτε καὶ πάντες ὁμοίως καὶ ἕκαστος αὐτῶν ἐσχηκότες τὸ Εὐαγγέλιον τοῦ Θεοῦ . . . » (1).

Ἐν λεπτομερείᾳ διεσαφήνισεν ὁ ἅγιος Εἰρηναῖος τὴν σχέσιν τῆς Παλαιᾶς Διαθήκης πρὸς τὴν Καινὴν (2)· ἐξέθηκεν ἐν ἀκριβείᾳ τὴν περὶ Θεοῦ Δημιουργοῦ τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου διδασκαλίαν (3), περὶ τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ περὶ τοῦ προσώπου τοῦ Χριστοῦ Ἰησοῦ (4), περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν (5), καὶ περὶ τῆς ἁγίας Εὐχαριστίας (6).

(1) Βιβλ. γ'. κεφ, 1.

(2) Βιβλ. δ'.

(3) Βιβλ. γ'. 10-15 ε'. 29-35.

(4) «Ostenso manifeste, quod in principio Verbum exsistens apud Deum, per quem omnia facta sunt. qui et semper aderat generi humano, hunc in novissimis temporibus, secundum praefinitum tempus a Patre, unitum suo plasmati, passibilem hominem factum; exclusa est omnis contradictio dicentium: Si ergo tunc natus est, non erat ergo ante Christus. Non enim tunc coepit Filius Dei, existens semper apud Patrem; sed quando incarnatus est et homo factus, longam hominum expositionem in se ipso recapitulavit, in compendio nobis salutem praestans, ut quod perdideramus in Adam, i. e. secundum imaginem et similitudinem Dei esse, hoc in Christo Jesu reciperemus» (adv haer. l. III. c. 18. n. I. p. 200). «Quoniam enim nemo in totum ex filiis Adae Deus appellatur secundum eum, aut Dominus nominatur, ex Scripturis demonstravimus. Quoniam autem ipse proprie praeter omnes, qui fuerunt tunc homines, Deus et Dominus et Rex aeternus et Unigenitus et Verbum incarnatum praedicatur et a prophetis omnibus et apostolis et ipso Spiritu, adest videre omnibus, qui vel modicum de veritate attigerint. Haec autem non testificarentur Scripturae de eo, si, similiter ut omnes, homo tantum fuisset. Sed quoniam praeclaram praeter omnes habuit in se eam, quae est ab altissimo Patre, geniturum, praeclara autem functus est et ea, quae est ex virgine, generatione; utraque Scripturae divinae de eo testificantur (l. III. c. 19. n. 2. p. 212) . . . . . Hic igitur Filius Dei Dominus noster, exsistens Verbum Patris, et Filius hominis, quoniam ex Maria, quae ex hominibus habebat genus, quae et ipsa erat homo, habuit secundum hominem generationem, factus est Filius hominis (ibid. n. 3. p. 213).

(5) Βιβλ. ε. 3-10.

(6) Βιβλ. ε. κεφ. β'. 2. σελ. 293, 294. — 3. σελ. 294. βιβλ. δ'. κεφ. ιη'. 5. σελ. 251.

Σημαντικώτατόν ἐστι τὸ σύμβολον τῆς ἀρχαίας Ἐκκλησίας, τὸ ἐκτεθὲν ὑπὸ τοῦ Εἰρηναίου πρὸς ἔλεγχον τῶν δοξασιῶν τῶν αἱρετικῶν.

« Ἡ μὲν γὰρ Ἐκκλησία, γράφει, καίπερ καθ' ὅλης τῆς οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη, παρὰ δὲ τῶν Ἀποστόλων καὶ τῶν ἐκείνων μαθητῶν παραλαβοῦσα τὴν εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, τὸν πεποιηκότα τὸν Οὐρανὸν καὶ τὴν γῆν καὶ τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς, πίστιν· καὶ εἰς ἕνα Χριστὸν Ἰησοῦν, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν σαρκωθέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας· καὶ εἰς Πνεῦμα ἅγιον, τὸ διὰ τῶν Προφητῶν κεκηρυχὸς τὰς οἰκονομίας, καὶ τὰς ἐλεύσεις καὶ τὴν ἐκ Παρθένου γέννησιν καὶ τὸ πάθος καὶ τὴν ἔγερσιν ἐκ νεκρῶν καὶ τὴν ἔνσαρκον εἰς τοὺς Οὐρανοὺς ἀνάληψιν τοῦ ἠγαπημένου Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, καὶ τὴν ἐκ τῶν Οὐρανῶν ἐν τῇ δόξῃ τοῦ Πατρὸς παρουσίαν αὐτοῦ ἐπὶ τὸ ἀ ν α κ ε φ α λ α ι ώ σ α σ θ α ι τ ὰ π ά ν τ α, (Ἐφ. ά. 10.) καὶ ἀναστῆσαι πᾶσαν σάρκα πάσης ἀνθρωπότητος, ἵνα Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν καὶ Θεῷ καὶ Σωτῆρι καὶ Βασιλεῖ κατὰ τὴν εὐδοκίαν τοῦ Πατρὸς τοῦ ἀοράτου πᾶν γόνυ κάμψῃ ἐ π ο υ ρ α ν ί ω ν καὶ ἐ π ι γ ε ί ω ν καὶ κ α τ α χ θ ο ν ί ω ν, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται αὐτῷ καὶ κρίσιν δικαίαν ἐν τοῖς πᾶσι ποιήσηται, τὰ μὲν πνευματικὰ τῆς πονηρίας καὶ ἀγγέλους τοὺς παραβεβηκότας καὶ ἐν ἀποστασίᾳ γεγονότας καὶ τοὺς ἀσεβεῖς καὶ ἀδίκους καὶ ἀνόμους καὶ βλασφήμους τῶν ἀνθρώπων εἰς τὸ αἰώνιον πῦρ πέμψῃ· τοῖς δὲ δικαίοις καὶ ὁσίοις καὶ τὰς ἐντολὰς αὐτοῦ τετηρηκόσι καὶ ἐν τῇ ἀγάπῃ Αὐτοῦ διαμεμενηκόσι, τοῖς ἀπ' ἀρχῆς, τοῖς δὲ ἐκ μετανοίας ζωὴν χαρισάμενος, ἀφθαρσίαν δωρήσηται καὶ δόξαν αἰωνίαν περιποιήσῃ » (¹).

Ὁ Κλὲρκ ἐμέμψατο ἀποτόμως τῷ ἁγίῳ Εἰρηναίῳ ὡς χρωμένῳ εἰς ἀπόδειξιν ἀλληγορίαις. Ἀληθές, ὅτι ἐνίοτε ποιεῖται πρὸς ἔλεγχον τῶν αἱρετικῶν χρῆσιν τῆς ἀλληγορικῆς ἑρμηνείας τῆς Γραφῆς· ἀλλὰ σπανίως, καὶ μόνον ὅτε δίδοται περίστασις στρέψαι κατὰ τῶν ἐχθρῶν τὸ ἴδιον αὐτῶν ὅπλον. Αὐτὸς δὲ ὁ Ἱερὸς Πατὴρ οὐκ ἠγάπα τὰς ἀλληγορικὰς θεωρίας καὶ ἔψεγε τοὺς αἱρετικοὺς ἐπὶ τῇ αὐθαιρέτῳ

(¹) Βιβλ. ά. κεφ. 10.

τῶν Παροιμιῶν ἑρμηνείᾳ (¹). Μὴ ἀπορρίπτων δὲ πᾶν ὅ,τι οὐκ ἀπορρίπτεται καὶ ὑπὸ παντὸς ὀρθῶς φρονοῦντος, δηλ. ὅ,τι κατὰ τὰς ψυχολογικὰς ἀρχὰς καὶ τὰς τῆς πίστεώς ἐστιν ἀλληγορικὸς τύπος τῶν ἐννοιῶν, ὀρθῶς ἐσημείωσεν: Typus enim et imago secundum materiam et secundum substantiam aliquoties a veritate diversus est; secundum autem habitum et lineamentum debet servare similitudinem et similiter ostendere per praesentia illa, quae non sunt praesentia» (lib. II. c. 23). Τὰ λάθη τοῦ Εἰρηναίου ἦσαν ἄλλου εἴδους. Κατά τινα τῆς πίστεως ἀντικείμενα, μὴ οὐσιώδη, εἶχε τὰς ἑαυτοῦ δοξασίας, ὡς π. χ. περὶ τῆς χιλιετοῦς βασιλείας τοῦ Χριστοῦ (²), καὶ περὶ τοῦ ἐνσωμάτου τῶν πνευμάτων (³).

§ 51. *Σεραπίων ἐπίσκοπος Ἀντιοχείας.*

Ὁ δεύτερος διάδοχος τοῦ ἁγίου Θεοφίλου ἐπὶ τοῦ θρόνου τῆς Ἀντιοχείας, ὁ μακάριος Σεραπίων, ἦν ἐναρίθμιος τοῖς ἐπισήμοις κατ'

(¹) «Et ideo parabolæ debent non ambiguis adaptari: sic enim et qui absolvit, sine periculo absolvit, et parapolae ab omnibus similiter absolutionem accipient». Lib. II. c. 27. Ἠδύνατο ἆρά γε ἀρέσκειν αὐτῷ ἡ βεβιασμένη ἀλληγορικὴ ἑρμηνεία, ἀφοῦ αὐτὸς οὗτος γράφει, ὅτι οἱ Γνωστικοὶ πρὸς ἴδιον ὄφελος μετεποίησαν εἰς ἀλληγορίας καὶ αὐτὴν τὴν δογματικὴν διδασκαλίαν τῶν Προφητῶν καὶ Ἀποστόλων; Βιβλ. ά. 8. 9. έ'. 26.

(²) Κατὰ αἱρέσ. έ. 32. Hieron. de vir. illustr. c. 35.

(³) Βιβλ. β'. κεφ. 19. § 7. καὶ κεφ. 34. § 1. Οὐδεμία ἀμφιβολία ὅτι οἱ λόγοι περὶ τῆς τεσσαρακονταετοῦς ἡλικίας τοῦ Σωτῆρος (κατὰ αἱρ. βιβλ. έ'. 22), εἰσήχθησαν εἰς τὸ κείμενον ὑπὸ ξένης χειρός, ἢ παρεφθάρησαν ἐν τοῖς ἀριθμοῖς αὐτῶν. Αὐτὸς ὁ Εἰρηναῖος ἔγραψε περὶ τοῦ Σωτῆρος, ὅτι ἐγεννήθη περὶ τὸ μά. ἔτος τῆς βασιλείας τοῦ Αὐγούστου. «Ad baptismum venit nondum qui triginta annos suppleverat, sed qui inciperet esse tanquam triginta aunorum». Μετὰ τὸ βάπτισμα ἑώρτασε τρία πάσχα, ἃ καὶ ἀπαριθμεῖ ὁ Εἰρηναῖος. Ταῦτα ἀναγινώσκονται ἐν τῷ αὐτῷ κεφαλαίῳ, ἐν ᾧ γίγνεται λόγος καὶ περὶ τῆς τεσσαρακονταετοῦς ἡλικίας (βιβλ. έ'. 22). Ἐκτὸς τούτου οἱ παράδοξοι λόγοι περὶ τῆς ἡλικίας ἐν αὐτῇ τῇ ἀσαφείᾳ καὶ συγχύσει αὐτῶν περιέχουσι σημεῖον διαφθορᾶς, οἷς ἑπόμενος ὁ Εἰρηναῖος ἐπίστευεν ἄν, ὅτι ὁ Σωτὴρ ἐσταυρώθη οὐκ ἐπὶ τοῦ Πιλάτου.

αὐτὸν ἀκμάσασι ποιμέσι τῆς Ἐκκλησίας οἷον τῷ Ἀπολιναρίῳ καὶ τῷ Εἰρηναίῳ (1). Ἀναλαβὼν τὴν διοίκησιν τῆς Ἐκκλησίας μετὰ τὸν Μαξιμῖνον (τῷ 198) (2), ἠγωνίσατο παντὶ σθένει κατὰ τῶν Μοντανιστῶν. Συγκαλέσας δὲ εἰς σύνοδον τοὺς πέριξ ποιμένας, προὔτεινεν αὐτοῖς ἐλεγκτικὴν ἐπιστολὴν ὑπογραφεῖσαν ὑφ᾽ ἁπάντων τῶν μελῶν τῆς συνόδου (3). «Τῆς δὲ κατ᾽ Ἀντιόχειαν Ἐκκλησίας, Σεραπίωνος ἀναπαυσαμένου, τὴν ἐπισκοπὴν διαδέχεται Ἀσκληπιάδης, ἐν ταῖς κατὰ τὸν διωγμὸν ὁμολογίαις διαπρέψας καὶ αὐτός». Οἱ λόγοι οὗτοι τοῦ Εὐσεβίου δεικνῦσιν, ὅτι ὁ ἅγιος Σεραπίων ὑπέστη μὲν παθήματα ὑπὲρ τῆς τοῦ Χριστοῦ πίστεως, ἀλλ᾽ ἀνεπαύσατο ἐν εἰρήνῃ τῷ σιβ′. (4).

«Τοῦ δὲ Σεραπίωνος, λέγει ὁ Εὐσέβιος, τῆς περὶ λόγους ἀσκήσεως καὶ ἄλλα μὲν εἰκὸς σώζεσθαι παρ᾽ ἑτέροις ὑπομνήματα, εἰς ἡμᾶς δὲ μόνα κατῆλθε τὰ πρὸς Δομῖνον ἐκπεπτωκότα τινὰ παρὰ τὸν τοῦ διωγμοῦ καιρὸν ἀπὸ τῆς εἰς Χριστὸν πίστεως ἐπὶ τὴν ἰουδαϊκὴν ἐθελοθρησκείαν, καὶ τὰ πρὸς Πόντιον καὶ Καρικὸν ἐκκλησιαστικοὺς ἄνδρας, καὶ ἄλλαι πρὸς ἑτέρους ἐπιστολαί (5). Ἕτερός τε συντεταγμένος αὐτῷ λόγος περὶ τοῦ λεγομένου κατὰ Πέτρον Εὐαγγελίου, ὃν πεποίηται, ἀπελέγχων τὰ ψευδῆ ἐν αὐτῷ εἰρημένα διά τινας ἐν τῇ κατὰ Ρωσσὸν παροικίᾳ, προφάσει τῆς εἰρημένης Γραφῆς εἰς ἑτεροδόξους διδασκαλίας ἀποκείλαντας».

«Ἡμεῖς γάρ, ἀδελφοί, ἔγραφεν ὁ Ἱεράρχης, καὶ Πέτρον καὶ τοὺς ἄλλους Ἀποστόλους ἀποδεχόμεθα ὡς Χριστόν, τὰ δὲ ὀνόματα αὐ-

(1) Εὐσέβ. ἐκκλ. ἱστορ. ε′· 22.

(2) Μετὰ τὸν διάδοχον τοῦ Θεοφίλου Μαξιμῖνον ἀνέβη ἐπὶ τὸν θρόνον κατὰ τὸν Ἱερώνυμον (de vir. illustr. c. 41) «undecimo Commodi imperatoris anno», κατὰ δὲ τὸν Εὐσέβιον (χρον. σελ. 172) τῷ δεκάτῳ καὶ ἑπομένως τῷ 190 μ. χ. Ἀλλ᾽ ὁ Λεκουΐνιος (Lequien, Or. Christ., tom. II. pag. 703), καὶ ὁ Γαλλάνδιος (Bibl. vet. Patr. I, Prolegom. p. XXII) ἀπέδειξαν τοῖς λόγοις αὐτοῦ τοῦ Εὐσεβίου, ὅτι τοῦτο οὐκ ἠδύνατο συμβῆναι πρὸ τοῦ 198.

(3) Εὐσέβ. ἐκκλησ. ἱστορ. ε′. 19. Hieron. de vir. illustr. c. 41.

(4) Εὐσέβ. ς′. 11.

(5) Ὁ Ἱερώνυμος λέγει: «Leguntur et sparsim ejus breves Epistolæ, autoris sui ἀσκήσει et vitæ congruentes» (de vir. illustr. c. 41).

τῶν ψευδεπίγραφα, ὡς ἔμπειροι, παραιτούμεθα, γινώσκοντες, ὅτι τὰ τοιαῦτα οὐ παρελάβομεν. Ἐγὼ γάρ, γενόμενος παρ' ὑμῖν, ὑπενόουν τοὺς πάντας ὀρθῇ πίστει προσφέρεσθαι, καὶ μὴ διελθὼν τὸ ὑπ' αὐτῶν προσφερόμενον ὀνόματι Πέτρου Εὐαγγέλιον, εἶπον· ὅτι εἰ τοῦτό ἐστι μόνον τὸ δοκοῦν ὑμῖν παρέχειν μικροψυχίαν, ἀναγινωσκέσθω. Νῦν δὲ μαθών, ὅτι αἱρέσει τινὶ ὁ νοῦς αὐτῶν ἐνεφώλευεν, ἐκ τῶν λεχθέντων μοι, σπουδάσω πάλιν γενέσθαι πρὸς ὑμᾶς, ὥστε, ἀδελφοί, προσδοκᾶτέ με ἐν τάχει. Ἡμεῖς δέ, ἀδελφοί, καταλαβόμενοι, ὁποίας ἦν αἱρέσεως ὁ Μαρκιανός, καὶ ἑαυτῷ ἠναντιοῦτο, μὴ νοῶν, ἃ ἐλάλει, ἃ μαθήσεσθε, ἐξ ὧν ὑμῖν ἐγράφη. Ἠδυνήθημεν γὰρ παρ' ἄλλων τῶν ἀσκησάντων αὐτὸ τοῦτο τὸ Εὐαγγέλιον, τουτέστι παρὰ τῶν διαδόχων τῶν καταρξαμένων αὐτοῦ, οὓς Δοκητὰς καλοῦμεν, (τὰ γὰρ φρονήματα τὰ πλείονα ἐκείνων ἐστὶ τῆς διδασκαλίας), χρησάμενοι [*] παρ' αὐτῶν, διελθεῖν, καὶ εὑρεῖν τὰ μὲν πλείονα τοῦ ὀρθοῦ λόγου τοῦ Σωτῆρος, τινὰ δὲ προσδιεσταλμένα, ἃ καὶ ὑπετάξαμεν ὑμῖν» (Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 12).

Λέγων ὁ Σωκράτης, ὅτι Σεραπίων, ὁ τῆς ἐν Ἀντιοχείᾳ προεστὼς Ἐκκλησίας, ὡμολόγει, καθάπερ καὶ ὁ Εἰρηναῖος καὶ ὁ Κλήμης καὶ Ἀπολινάριος ὁ Ἱεραπολίτης, ὅτι ὁ Χριστός, ὡς ἄνθρωπος, εἶχεν ἀνθρωπίνην ψυχήν, φαίνεται ἔχων ὑπ' ὄψει τὸ περὶ τοῦ Εὐαγγελίου τοῦ

---

[*] Χρησάμενοι = δανεισάμενοι. Περὶ τῶν αἱρετικῶν Δοκητῶν, τῶν δοξαζόντων, ὅτι κατὰ δόκησιν μόνον καὶ φαντασίαν ἐγένετο ἄνθρωπος ὁ Ἰησοῦς Χριστός, μήτε ἀληθῆ προσλαβὼν σάρκα, μήτε ὄντως παθών, λόγον ποιοῦνται Κλήμ. ὁ Ἀλεξανδρ. ἐν τῷ ζ'. βιβλ. τῶν Στρωμ., καὶ ὁ Θεοδώρητ. αἱρετ. κακομυθ. βιβλ. ε'. 12. Τῆς αἱρέσεως ταύτης ἀρχηγὸς ἦν Ἰούλιος ὁ Κασσιανός, κατὰ τὸν Κλήμεντα (Στρωμ. βιβλ. γ'.) Περὶ αὐτῶν λέγει ὁ Μεθόδιος ἐν τῷ *συμποσίῳ* σελ. 110: «ὡς ὁ Ἀρτεμᾶς καὶ οἱ δοκήσει αὐτὸν ἀποφηνάμενοι πεφυκέναι.» Τοὺς αἱρετικοὺς τούτους οἱ λατῖνοι ἐκάλεσαν, κατὰ τὸν Προυδέντιον, ***Phantasmatarios***. ὁ Ἱερώνυμος in cap. VI epistolae ad Galatas λέγει ἀρχηγὸν τῆς αἱρέσεως ταύτης γεγονέναι τὸν Τατιανόν. «Tatianus, λέγει, qui putativam Christi carnem introducens, omnem conjunctionem masculi ad feminam immundam arbitratur». Σ. Μ.

Πέτρου σύγγραμμα αὐτοῦ, ὡς ἐκ τοῦ περιεχομένου αὐτοῦ ἐξάγεται[α].

§ 52. *Ἱππόλυτος· βίος αὐτοῦ.*

Εἷς τῶν ἐπισήμων μαθητῶν τοῦ ἁγίου Εἰρηναίου ἦν ὁ Ἱππόλυτος (1), κατὰ τὸν Ἱερώνυμον, ῥωμαῖος γερουσιαστὴς καὶ ἔπειτα ἐπίσκοπος (2). Εἷς τῶν κυρίων αὐτοῦ ἀγώνων ἦν ὁ κατὰ τοῦ Νοητοῦ(3). Οἱ Ρωμαῖοι ἐπίσκοποι Ζεφυρῖνος (201—218) καὶ Κάλλιστος (219—223) ὑπερεμάχοντο ἐκθύμως τῆς αἱρέσεως τοῦ Νοητοῦ. Οὕτω γράφει αὐτὸς ὁ Ἱππόλυτος ἐν τῷ κατὰ αἱρέσεων πέμπτῳ βιβλίῳ. Τότε οὐκ ἐδόξαζον, ὅτι ὁ Πάπας ἐστὶν ἀναμάρτητος, — ὁ Ζεφυρῖνος καὶ ὁ Κάλλιστος ἦσαν ὀπαδοὶ τῆς χειρίστης τῶν αἱρέσεων, διαστρέφοντες τὴν πίστιν ἐν τῷ σπουδαιοτάτῳ αὐτῆς δόγματι περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ὁ ἅγιος Ἱππόλυτος ἤλεγξεν

[α] Τῇ μαρτυρίᾳ τοῦ αὐτοῦ Σεραπίωνος, λέγει ὁ αὐτὸς Σωκράτης (ἐκκλ. ἱστ. γ΄. 7), ὡς καὶ τῶν παλαιοτέρων Θεολόγων Εἰρηναίου, Κλήμεντος καὶ Ἀπολιναρίου τοῦ Ἱεραπόλεως, ἐπεσφραγίσθη κατὰ τὴν ἐν Ἀλεξανδρείᾳ, ἐπὶ τοῦ ἁγίου Ἀθανασίου, κατὰ τῆς αἱρέσεως τοῦ Ἀπολιναρίου συγκροτηθεῖσαν σύνοδον ἡ καθολικὴ πίστις, ἣ πιστεύομεν τὸν Λόγον τοῦ Θεοῦ ἀναλαβεῖν ἔμψυχον σῶμα. Σ. Μ.

(1) Φώτ. ἀνάγν. ρκά. «Ἀνεγνώσθη βιβλιδάριον Ἱππολύτου· μαθητὴς δὲ Εἰρηναίου ὁ Ἱππόλυτος . . . λέγεται δὲ οὗτος καὶ προσομιλεῖν τῷ λαῷ κατὰ μίμησιν Ὠριγένους, οὗ καὶ συνήθης μάλιστα καὶ ἐραστὴς τῶν λόγων ὑπῆρχεν». Ὡς μαθητὴν ἑνὸς τῶν ἀκροασαμένων τῶν ζωσῶν παραδόσεων παρὰ τῶν Ἀποστόλων ὁ Παλλάδιος (Λαυσ. κεφ. 148) καὶ Κύριλλος ὁ Σκυθοπολίτης (ἐν βίῳ τοῦ ἁγίου Εὐθυμίου in Analectis Graec. B. B. pag. 82. καὶ ἐν βίῳ τοῦ ἁγίου Σάββα in Monument. Eccles. Gr. Cotelerii tom. III. pag. 354) καλοῦσι τὸν Ἱππόλυτον *παλαιὸν καὶ γνώριμον τῶν Ἀποστόλων*.

(2) «Hippolytus quoque et Apollonius, Romanæ urbis senatores, propria opuscula condiderunt». Ep. 70. ad Magnum.

(3) Ἡ πρὸς τὴν Αὐτοκράτειραν ἐπιστολὴ τοῦ Ἱππολ. ἦν γνωστὴ τῷ Θεοδωρήτῳ. (Διάλ. ε΄. ἀσύγχ. σ. 131). Ἐν δὲ τῇ ἐπὶ τοῦ Θρόνου αὐτοῦ ἐπιγραφῇ γέγραπται: *προτρεπτικὸς πρὸς Σεβηρεῖναν*. Ὁ Ὠριγένης ἔγραψεν ἐπίσης πρὸς τὴν σύζυγον τοῦ Αὐτοκράτορος Φιλίππου. Hieron. de Script. Eccles. c. 61. Νικηφ. ὁ Κάλλιστ. δ΄. 31.

ἐντόνως τὴν ἀσεβῆ αἵρεσιν τοῦ τε Νοητοῦ καὶ τῶν αὐτοῦ μαθητῶν Ζεφυρίνου καὶ Καλλίστου. Οὕτω γράφει αὐτὸς οὗτος. Βασιλεύοντος τοῦ Ἀλεξάνδρου Σευήρου, ἔγραψε τὸν ἑαυτοῦ πασχάλιον κύκλον, τῇ δὲ συζύγῳ τοῦ Αὐτοκράτορος Φιλίππου (τῷ 244) Αὐτοκρατείρᾳ Σεβηρείνῃ ἐπιστολήν. Αὐτὸς ὁ τόπος τῆς ἐπισκοπικῆς καθέδρας αὐτοῦ προσήγγιζεν αὐτὸν τῇ αὐτοκρατορικῇ αὐλῇ. Ἦν, ὡς λέγουσιν οἱ ἀρχαῖοι, ἐπίσκοπος ρωμαϊκῆς τινος πόλεως καλουμένης Ρωμαϊκοῦ—λιμένος (Portus Romanus) (1), ἢ ἄλλως Πόρτου τοῦ κατὰ τὴν Ρώμην (2). Ὁ ἐπισκοπικὸς θρόνος τοῦ ἁγίου Ἱππολύτου εὑρέθη κατὰ τὸν Βήρειον ἀγρόν, παρὰ τὴν ἐκκλησίαν τοῦ ἁγίου Λαυρεντίου (3). Ὁ Προυδέντιος ἐν τῷ ὕμνῳ αὐτοῦ εἰς τὸν ἅγιον Ἱππόλυτον γράφει, ὅτι ἐτελεύτησε μαρτυρικῶς ἐν τῷ λιμένι τῆς Ὀστίας, καὶ ὅτι τὰ λείψανα αὐτοῦ ἐτέθησαν ἐν τῷ Βηρείῳ ἀγρῷ,—ἐν τῷ νεκροταφείῳ. Ὁ αὐτὸς ἐξυμνῶν τοὺς ἀγῶνας αὐτοῦ, ἀποκαλεῖ αὐτὸν ἅγιον διδάσκαλον, σπουδαῖον ποιμένα. Οἱ ἐθνικοὶ ἐν τῷ αὐτῷ ὕμνῳ καλοῦσιν αὐτὸν κεφαλὴν τῶν προσκυνητῶν τοῦ Χριστοῦ (ipsum Christocolis esse caput populis), δηλ. ἐπίσκοπον. Ἐντεῦθεν πρόδηλον, ὅτι ὁ Ἱππόλυτος, οὗ ὁ θρόνος εὑρέθη ἐν τῷ Βηρείῳ νεκροταφείῳ, καὶ ὁ ὑπὸ τοῦ Προυδεντίου ἐξυμνηθείς, ἐστιν ἓν καὶ τὸ

(1) Ἀναστάσ. ὁ πρεσβύτ. καὶ τῆς ρωμ. Ἐκκλησίας *ἀποκρισιάριος* in Epistola ad Theodos. apud Sirmondum T. p. 376.

(2) Χρον. Ἀλεξ. σελ. 6. Γεώργ. ὁ Σύγκελλος ἐν χρονογρ. σελ. 358. «Ἱππόλυτος ἱερὸς φιλόσοφος, ἐπίσκοπος Πόρτου τοῦ κατὰ τὴν Ρώμην, σφόδρα διαπρεπῶς ἤνθει...»

(3) Ὁ ἐκ μαρμάρου θρόνος μετὰ τοῦ ἐπ' αὐτοῦ καθημένου Ἱππολύτου ἐγένετο οὐ πρὸ τοῦ πέμπτου αἰῶνος καὶ οὐκ ὀψιαίτερον τοῦ ἕκτου. Τὸ πρῶτον δῆλον ἐκ τοῦ ὅτι οὐ μνημονεύουσιν αὐτοῦ οὔτε ὁ Γελάσιος ὁ Ρώμης οὔτε ὁ Βίκτωρ, οἱ λόγον περὶ τοῦ Ἱππολύτου ποιούμενοι. Τὸ δεύτερον ἐξάγεται ἐκ τοῦ σχήματος τῶν ἐν τῇ ἐπιγραφῇ γραμμάτων. Πιθανόν, ὅτι τὸ μνημεῖον τοῦτο ἠγέρθη ἐν τῷ ἕκτῳ αἰῶνι ἕνεκα τῶν ἐν Ρώμῃ ἐρίδων περὶ τῆς ἑορτῆς τοῦ Πάσχα, ὅτε οἱ ἀφωσιωμένοι τῇ ἀρχαίᾳ ρωμαϊκῇ συνηθείᾳ ἠθούλοντο διαιωνίσαι τὴν μνήμην αὐτῆς διὰ μνημείου εἰς τιμὴν τοῦ συντάξαντος τὸν πασχάλιον κύκλον, συμφωνοῦντα τῷ ἀρχαίῳ ρωμαϊκῷ. Διὰ τοῦτο ἐπὶ τοῦ θρόνου ἐχαράχθη καὶ ὁ πασχάλιος κύκλος τοῦ Ἱππολύτου.

αὐτὸ πρόσωπον. Ὁ Προυδέντιος γράφει: «Ἡ τελευταία φωνὴ τοῦ σεβαστοῦ γέροντος ἠκούσθη τοιάδε: «διαμελισάτωσαν τὰς σάρκας μου. Σὺ δέ, Χριστέ, δέξαι τὸ πνεῦμά μου» (¹). Ὁ Ἱερώνυμος καὶ ὁ Θεοδώρητος ἐπ' ἴσης καλοῦσι τὸν ἅγιον Ἱππόλυτον μάρτυρα (²), ἀλλ' οὐ δεικνῦσι τὸν χρόνον τῆς τελευτῆς αὐτοῦ (³).

§ 53. *Ὁ ἅγιος Ἱππόλυτος, ὡς διδάσκαλος· συγγράμματα αὐτοῦ· α) ἱστορικὰ καὶ εἰς τὴν ἐκκλησιαστικὴν εὐταξίαν ἀφορῶντα.*

Τὸ ὄνομα τοῦ ἁγίου Ἱππολύτου, ὡς διδασκάλου τῆς Ἐκκλησίας ἦν πάνυ διαπρεπές. Ὁ Θεοδώρητος τάσσει αὐτὸν ἐν τοῖς μεγάλοις ἐκείνοις διδασκάλοις, οἷοι ἦσαν ὁ Ἰγνάτιος καὶ ὁ Εἰρηναῖος (⁴). Ἀναστάσιος ὁ ὁμολογητὴς καλεῖ αὐτὸν ἱερώτατον καὶ μέγαν διδάσκαλον, πιστὸν μάρτυρα τῆς ἀληθείας (⁵). Ἀποκαλῶν αὐτὸν ὁ Ἱερώνυμος ἐπισημότατον ἄνδρα, γράφει, ὅτι οὐ μόνον ἐκτήσατο παρὰ τῷ Εἰρηναίῳ τὴν τέχνην τοῦ διδασκάλου τῆς πίστεως, ἀλλ' εἶχε καὶ εὐρείας γνώσεις ἔν τε τῇ φιλοσοφίᾳ καὶ ταῖς ἄλλαις κοσμικαῖς ἐπιστήμαις (⁶). [α] Καὶ τὴν πίστιν εἰς τὴν ἀλήθειαν τοῦ Χρι-

---

(¹) Περὶ στεφάνων, carm. XI. apud Ruinart. act. sicera MM. pag. 157.

(²) Hieron. praefat. in Math.— Θεοδώρ. Διάλ. Γ. Ἀπαθ. Τ. 4. σελ. 232. edit. Schulze: «τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος».

(³) Ἡ μνήμη τοῦ ἁγίου Ἱππολύτου τελεῖται ἐν μὲν τῇ ἑλλην. Ἐκκλησίᾳ τῇ λ'. Ἰανουαρίου, ἐν δὲ τῇ ρωμαϊκῇ τῇ κβ'. Αὐγούστου.

(⁴) Διάλ. Γ'. Τόμ. Δ'. σελ. 154

(⁵) «Ecce nunc et sacratissimus hic et magnus doctor, veritatisque testis, fidelis concorditer cum aliis omnibus sanctis Chadolicæ Dei ac Apostolicæ institutionibus Ecclesiæ, duas secundum unitionem inconfusam et impatibilem quemadmodum naturas, ita etiam duas voluntates . . . . confiteri jubet ». in Collect. Sirmondi tom. III. p. 590.

(⁶) Ep. ad Lucin. LXXI et ad Magnum LXX.

[α] Ὁ Θεῖος Χρυσοστόμος, μᾶλλον δὲ ἄλλος ἀρχαῖος συγγραφεὺς ὑπὸ τὸ ὄνομα τοῦ Χρυσοσόμου ἀποδίδωσι τῷ ἁγ. Ἱππολύτῳ ἔξοχον νοῦν, ἡδυτάτην εὐγλωττίαν, καὶ οὐ διστάζει παραβαλεῖν αὐτὸν πρὸς τὸν ἅγιον Ἰγνάτιον καὶ τὸν ἅγιον Διονύσιον τὸν Κορίνθου ἢ τὸν Ἀλεξανδρείας. «Ποῦ Εὐόδιος, λέγει, ἡ εὐωδία τῆς Ἐκκλησίας καὶ

στοῦ καὶ τὴν πολυμάθειαν αὐτοῦ δεικνῦσιν ἐν τῷ Ἱππολύτῳ αὐτὰ τὰ συγγράμματα αὐτοῦ, ἐν οἷς πρὸς τοῖς ἄλλοις, ὡς ἀποφαίνεται ὁ Φώτιος (1), ὑπάρχει καὶ τὸ πλεονέκτημα, ὅτι πρὸς τῇ σαφηνείᾳ τῆς ἐννοίας καὶ τῷ ἀνθηρῷ τῆς φράσεως, οὐδέν ἐστιν, ὅπερ οὐκ ἀναφέρεται πρὸς τὸν σκοπόν.

Τὰ συγγράμματα τοῦ ἁγίου Ἱππολύτου ἀπαριθμοῦνται ἐπὶ τοῦ ἀνακαλυφθέντος θρόνου, ἡ δὲ μαρτυρία αὕτη, σύμφωνος οὖσα τῇ τοῦ Εὐσεβίου καὶ Ἱερωνύμου, ἀναπληροῖ διά τινων συγγραμμάτων τὸν κατάλογον τῶν ἱστορικῶν ὁμολογησάντων, ὅτι ἠγνόουν τὰ συγγράμματα αὐτοῦ, καὶ ἀμοιβαίως διασαφεῖται ταῖς μαρτυρίαις τῶν ἱστορικῶν (2).

τῶν ἁγίων Ἀποστόλων διάδοχος καὶ μιμητής; Ποῦ Ἰγνάτιος, τὸ τοῦ Θεοῦ οἰκητήριον; Ποῦ ὁ Διονύσιος, τὸ πετεινὸν τοῦ οὐρανοῦ; Ποῦ Ἱππόλυτος ὁ γλυκύτατος καὶ εὐνούστατος . . .» (Τόμ. Η'. σελ. 79, B., noviss. ed Paris.). Λεόντιος ὁ Βυζάντιος καταλέγει αὐτὸν ἐν τοῖς περιφανεστάτοις τῆς Ἐκκλησίας Πατράσι, τοῖς ἀπὸ τῆς Γεννήσεως τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μέχρι τοῦ Αὐτοκράτορος Κωνσταντίνου ἀνθήσασιν. «Ἐγένοντο δέ, γράφει, ἐν τοῖς χρόνοις τοῖς ἀπὸ τῆς Γεννήσεως τοῦ Χριστοῦ μέχρι τῆς βασιλείας Κωνσταντίνου διδάσκαλοι καὶ πατέρες οἵδε: Ἰγνάτιος ὁ Θεοφόρος, Εἰρηναῖος, Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς, Κλήμης καὶ Ἱππόλυτος ἐπίσκοποι Ῥώμης, Διονύσιος ὁ Ἀρεοπαγίτης, Μεθόδιος ἐπίσκοπος Πατάρων, Γρηγόριος ὁ Θαυματουργός, Πέτρος ὁ Ἀλεξανδρείας ἐπίσκοπος καὶ μάρτυς» (περὶ αἱρέσ. σελ. 430). Γεώργιος ὁ Σύγκελλος ἀποκαλεῖ αὐτὸν *ἱερὸν φιλόσοφον*, καὶ λέγει, ὅτι «σφόδρα διαπρεπῶς ἤνθει ἐν τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ πλεῖστα ψυχοφελῆ συντάττων ὑπομνήματα», (ἐν χρονογρ. σελ. 358). Ἰωάννης ὁ Ζωναρᾶς ἀποκαλεῖ αὐτὸν ἐπ' ἴσης ἄνδρα *ἱερώτατον* καὶ *σοφώτατον* (χρον. Τ. Α'· σελ. 626 edit. Paris, 468 Venet.). Σ. Μ.

(1) Βιβλιοθ. ἀναγν. ρκά.

(2) Τὰ συγγράμματα τοῦ ἁγίου Ἱππολύτου, ὅσα μόνον ἠδύνατο εὑρεῖν, ἐξέδωκεν ὁ Φαβρίκιος Hamburg. 1716 ἐν δυσὶ μέρεσιν, ὁ Γαλλάνδιος ἐν τῷ β'. Τόμ. τῆς Βιβλ. τῶν Πατ. ἐξέδωκε ταῦτα μετὰ συμπληρώσεων ὁ σοφὸς Καρδινάλιος Ἄγγελος Μάϊος ἐξέδ. Τ. I. sect. 2 p. 223 Romæ, 1825 τὰ τεμάχια ἐκ τῆς εἰς τὰς Παροιμ. ἑρμηνείας. Ἐν δὲ τῷ ά. καὶ β'. τόμ. collect. Vet. Auct. Romæ 1833, ἀναγινώσκονται προσέτι χωρία τινὰ ἐκ τῶν συγγραμμάτων τοῦ ἁγ. Ἱππολύτου. Ἤδη κατὰ τοὺς ἀρχαίους χρόνους μετεφράσθησαν συγ-

Τὰ συγγράμματα τοῦ ἁγίου Ἱππολύτου, κατὰ τὴν ὑπόθεσιν, δύναται διαιρεθῆναι εἰς ἱστορικο—κανονικά, δογματικο—πολεμικὰ καὶ ἑρμηνευτικά· κατὰ δὲ τὸ εἶδος τῆς ἐκθέσεως αὐτῶν διακριτέον τὰς ὁμιλίας αὐτοῦ.

Ἐκ τῶν πρώτων ὑπάρχουσι νῦν γνωστὰ τὰ περὶ τοῦ Πάσχα καὶ ἡ συλλογὴ τῶν κανόνων τῆς ἀποστολικῆς εὐταξίας(¹). Κατὰ τὸν Εὐσέβιον καὶ τὸν Ἱερώνυμον ὁ Ἱππόλυτος ἔγραψε βιβλίον περὶ τοῦ Πάσχα, συγκείμενον (ὡς ἐκ τοῦ χωρίου τοῦ Εὐσεβίου γίγνεται δῆλον) ἐκ δύο μερῶν, ὧν τὸ μὲν πρῶτον περιεῖχε χρονολογίαν ἀπὸ κτίσεως κόσμου μέχρι τοῦ πρώτου ἔτους τῆς βασιλείας τοῦ Αὐτοκράτορος Ἀλεξάνδρου τοῦ Σευήρου, τὸ δὲ τὸν πασχάλιον κύκλον, συνταχθέντα πρὸς προσδιορισμὸν τῆς ἡμέρας ταύτης τῆς ἑορτῆς (Εὐσέβ. ἐκκλ. ἱστ. ς΄· 22). Καὶ τὸ μὲν πρῶτον μέρος τοῦ συγγράμματος τούτου ὑπὸ τὸ ὄνομα χρονικοῦ ἀπωλέσθη(²)· τὸ δὲ τελευταῖον διεσώθη ἐπὶ τοῦ θρόνου τοῦ Ἱππολύτου. Ἔστι δὲ ὁ πασχάλιος οὗτος κύκλος τὸ ἀρχαιότατον δοκίμιον πάντων τῶν περὶ τοῦ εἴδους τούτου χριστιανικῶν δοκιμίων. Περιελάμβανεν ὑπολογισμὸν δέκα ἓξ ἐτῶν (κανὼν ἑκκαιδεκαετήρειος), μεθ᾽ ὧν τὴν παρέλευσιν ἔμελλε τῇ ιδ΄. ἡμέρᾳ τῆς Σελήνης ἐπανελθεῖν εἰς τὴν αὐτὴν ἡμέραν τοῦ μηνός.

γράμματά τινα αὐτοῦ εἴςτε τὴν αραβ. καὶ συρ. γλῶσσαν (Assemani) B. O T. 3. p. 25· Fabricii bibl. gr. T· VII. pag. 196, 197). Τὴν διήγησιν τοῦ ἁγίου Ἱππολύτου περὶ τῆς Κορινθίας παρθένου κατεχώρησεν ἐν τῷ Λαυσαϊκῷ αὐτοῦ ὁ Παλλάδιος (κεφ. 148.)

(¹) ὁ Ἱερώνυμος λέγει (Ep. ad Lucin. 71), ὅτιὁ Ἱππόλυτος ἔγραψεν ἔτι βιβλίον εἰς λύσιν τοῦ ζητήματος περὶ τῆς νηστείας τοῦ σαββάτου καὶ περὶ τῆς καθ᾽ ἑκάστην μεταλήψεως τῶν μυστηρίων: «De Sabbato quod quaeris, utrum jejunandum sit; et de Eucharistia, an accipiemda quotidie, qnod Romana Ecclesia et Hispaniæ observare perhibentur, scripsit quidem et Hippolytus vir disertissimus». Τὸ βιβλίον τοῦτο οὐ διεσώθη μέχρις ἡμῶν.

(²) Οὐκ ὀρθῶς ὑπολαμβάνουσί τινες, ὅτι ἐστὶ τὸ χρονικὸν Ἱππολύτου τοῦ Θηβαίου. Ἐξεδόθη ὑπὸ τοῦ Φαβρικίου (Vol. T. 49). Ὁ Δουκάγγιος (Du Cacge) ἐκλαμβάνει αὐτὸ ἀντὶ τοῦ χρονικοῦ τοῦ ἁγίου Ἱππολύτου. Τοῦτο κατά τι ὁμοιάζει τῇ ἐπὶ τοῦ θρόνου ἀριθμήσει· ἀλλ᾽ ὁριστικῶς οὐ λέγει περὶ τῶν υἱῶν τοῦ βασιλέως Ἰωσίου καὶ περὶ τοῦ χρόνου τῆς αἰχμαλωσίας Βαβυλῶνος (sect. 14, 16), περὶ οὗ γίγνεται λόγος ἐν τῷ γνησίῳ προλόγῳ εἰς τὴν ἑρμηνείαν τῆς προφητείας τοῦ Δανιὴλ (ap. Fabric. vol. I. p. 2781).

Ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἠδύνατο ἀείποτε συμβαίνειν, ὁ κύκλος ἐξετάθη ὑπὸ τοῦ Ἱππολύτου εἰς 112 ἔτη· ὅρια τοῦ Πάσχα ἐτέθησαν ἐνταῦθα ἡ κά. τοῦ Μαρτίου καὶ ἡ ιγ'. τοῦ Ἀπριλίου. Εἰ δὲ συνέβαινεν, ὥστε τὴν ιδ'. ἡμέραν τῆς Σελήνης συμπίπτειν τῷ Σαββάτῳ, ἐν τοιαύτῃ περιστάσει ἔδει ἑορτάζειν τὸ Πάσχα μετὰ μίαν ἑβδομάδα, ἐν ἡμέρᾳ Κυριακῇ, ὅπερ συνεφώνει τῇ ἀρχαίᾳ ῥωμαϊκῇ συνηθείᾳ (¹). Ἐννοεῖται, ὅτι πρὸς τοῦτο παρωρμήθη ὁ ἅγιος Ἱππόλυτος ἐκ τῆς περὶ τῆς ἑορτῆς τοῦ Πάσχα φιλονεικίας. Κατὰ τὸν χρόνον τοῦτον πολλαὶ τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς ἑώρταζον τὸ Πάσχα μετὰ τῶν Ἰουδαίων τῇ ιδ'. ἡμέρᾳ τοῦ Νισάν· ἐν δὲ τῇ Δύσει τῇ μετὰ τὴν ἡμέραν ταύτην πρώτῃ Κυριακῇ. Ἐντεῦθεν, ἐπειδὴ ἡ τελευταία συνήθεια οὐχ ὑπῆρχε παρὰ πᾶσιν ἡ αὐτή, ὡς ἀπαιτοῦσα ἐπὶ τούτῳ χρονολογικὰς καὶ ἀστρονομικὰς γνώσεις, ὁ ἅγιος Ἱππόλυτος πρὸς ὁδηγίαν τῆς ὡρισμένης ἡμέρας τοῦ Πάσχα κατέλιπε τὸν πασχάλιον κύκλον. Τοῦ δευτέρου περὶ τοῦ Πάσχα συγγράμματος μέρος διεσώθη ἐν τῷ Ἀλεξανδρινῷ χρονικῷ. Ἐν τούτῳ δείκνυσιν ὁ Ἱππόλυτος, ὅτι ὁ Σωτὴρ οὐκ ἐτέλεσε πρὸ τῶν ἁγίων αὐτοῦ Παθῶν τὸ Πάσχα μετὰ τῶν Ἰουδαίων.

Ἐν τῇ μνημονευθείσῃ ἐπὶ τοῦ θρόνου ἐπιγραφῇ ἀναγινώσκονται αἱ λέξεις: περὶ χαρισμάτων ἀποστολικὴ παράδοσις. Ἐν διαφόροις ἑλληνικοῖς χειρογράφοις (²) ἀναγινώσκονται πρῶτον: Διδασκαλία τῶν ἁγίων Ἀποστόλων περὶ χαρισμάτων, ἔπειτα: Διατάξεις τῶν ἁγίων Ἀποστόλων περὶ χειροτονιῶν διὰ Ἱππολύτου. Ἡ πρώτη ἀποτελεῖ τὸ ά. καὶ β'. κεφάλαιον τοῦ τυπωθέντος ὀγδόου βιβλίου τῶ ἀποστολικῶν διατάξεων· ἡ δὲ δευτέρα περιέχει τοῦ αὐτοῦ ὀγδόου βιβλίου τὰ δ'. ε'. ις'. κη'. λ'. λά. κεφάλαια. Παρὰ τοῖς Κόπταις ὡσαύτως γνωστοὶ μέχρι τοῦ νῦν

(¹) Prosper. Chron. p. 53. Περὶ τοῦ πασχαλίου κύκλου τοῦ ἁγ. Ἱππολύτου ἴδ. Ideler. Handbuch. d. Chronologie.

(²) Ἐν τῷ τοῦ Ὀξωνίου Baroccian num 26 et 185. τῆς Βιέννης cod. 45, 46 (Lambec. comm. vindob.) 8, 905), τοῦ Μονάχου (Hardt. Catal. B. Monac. cod. 380. *Arretin* Beiträge 8, 9, 15), τῆς Φλωρεντίας (Ban dini Catal. Bibl Laurent. p. 336).

«38 κανόνες τοῦ Ἀβουλίδου (Ἱππολύτου)»· ἐν τῇ συριακῇ γνωσταὶ αἱ διατάξεις τῶν Ἀποστόλων (αἱ παραδοθεῖσαι) ὑπὸ τοῦ Ἱππολύτου»· ἐν δὲ τῇ ἀραβικῇ «ἡ διδασκαλία τῶν Ἀποστόλων (παραδοθεῖσα) ὑπὸ τοῦ Ἱππολύτου». Τὸ κείμενον τῶν ἑλληνικῶν χειρογράφων κατ' οὐδὲν διαφέρει τοῦ τῆς ἐκδοθείσης ὀγδόης βίβλου τῶν Διατάξεων, ἐξαιρουμένων ἀσημάντων τινῶν διαφορῶν (1). Ὁ Φαβρίκιος ἐξέδωκε τὸ κείμενον τῆς διδασκαλίας τῶν Ἀποστόλων περὶ χαρισμάτων καὶ χειροτονιῶν ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Ἱππολύτου. Οὐδὲν ὁριστικὸν δυνάμεθα ἀντιτάξαι κατὰ τῆς γνησιότητος τούτου τοῦ συγγράμματος. Τοὐναντίον γνωστόν ἐστιν, ὅτι ἐπὶ τοῦ Ἱππολύτου οἱ αἱρετικοὶ ἐξεδίδοσαν διατάξεις ὑπὸ τὸ ὄνομα τῶν Ἀποστόλων, τοῦθ' ὅπερ ἀναμφιβόλως παρώρμησε τὸν Ἱππόλυτον εἰς τὸ συγγράψαι τὰς γνησίας τῶν Ἀποστόλων παραδόσεις κατὰ τὰς μαρτυρίας τὰς μέχρις αὐτοῦ ἀφικομένας ἀπὸ τοῦ Εἰρηναίου καὶ τῶν ὁμοίων αὐτῷ. Ὁ ἐπίλογος τοῦ δευτέρου συγγράμματος σαφῶς δείκνυσιν, ὅτι εἶχεν ὑπ' ὄψιν τοὺς Μοντανιστάς.

§ 54. *Δογματικο—πολεμικά: κατὰ τῶν αἱρέσεων καὶ κατὰ τοῦ Βήρωνος.*

Ἐκ τοῦ ἀριθμοῦ τῶν δογματικο—πολεμικῶν συγγραμμάτων τοῦ ἁγίου Ἱππολύτου εἰσὶ νῦν γνωστὰ ἄλλα μὲν ἀκέραια, ἄλλα δὲ ἐν τεμαχίοις: ά.) περὶ Θεοῦ καὶ σαρκὸς ἀναστάσεως [α]· β'.) ἀπόδειξις πρὸς τοὺς Ἰουδαίους, ἔνθα διὰ

(1) Ἰδ. Lumperi Meol. Hist. Grit. T. VII. pag. 330.

[α] Ὁ Φαβρίκιος (I. c. pag. 244) καὶ ὁ Γαλλάνδιος (I. c. pag. 495) ἀναφέρουσι τεμάχιον τοῦ ἁγίου Ἱππολύτου περὶ ταύτης τῆς ὑποθέσεως, ὅπερ ἔλαβον ἐκ τοῦ Ἀναστασίου τοῦ Σιναΐτου, ἀναφέροντος αὐτὸ ὑπὸ τὸ ὄνομα: *περὶ ἀναστάσεως καὶ ἀφθαρσίας* (ἐν ὁδηγ. σελ. 301. ed Migne). Ὁ Λεμούνιος (Var. Sacra, tom. II. p. 1112.) ἐνόμισεν, ὅτι ἡ πραγματεία *περὶ Θεοῦ καὶ σαρκὸς ἀναστάσεως* ἐγράφη κατὰ τοῦ Βηρύλλου καὶ τῶν Ἀράβων, ἀπατηθεὶς ὑπὸ τῆς ἀπιθάνου δοξασίας, ὅτι ὁ ἅγιος Ἱππόλυτος ἐπεσκόπευσεν ἐν Ἀραβίᾳ καὶ ἔζησεν ἐπὶ πολὺ ἐνταῦθα. Ἀλλὰ μετὰ μικρὸν (αὐτόθ. pag. 1115), μεταβαλὼν γνώμην, ἀποφαίνεται, ὅτι διὰ τοῦ συγγράμματος *περὶ Θεοῦ καὶ ἀναστάσεως σαρκὸς* ἐννοητέον

τῶν προφητειῶν δείκνυται ἡ ἀξία τοῦ Μεσσίου Ἰησοῦ· γ΄.) πρὸς Ἕλληνας καὶ πρὸς Πλάτωνα ἢ περὶ τοῦ παντός, ἔνθα ὁ Ἱππόλυτος γράφει: «Ἡμεῖς οὖν καὶ σῶμα ἀνίστασθαι πεπιστεύκαμεν. Εἰ γὰρ φθείρεται, ἀλλ᾽ οὐκ ἀπόλλυται. Τούτου γὰρ τὰ λείψανα ὑποδεχομένη ἡ γῆ, τηρεῖ· καὶ δίκην σπόρου γενόμενα καὶ τῷ γῆς λιπαρωτέρῳ συμπλεκόμενα ἀνθεῖ. Καὶ τὸ μὲν σπαρὲν κόκκος γυμνὸς σπείρεται, κελεύσματι δὲ τοῦ δημιουργήσαντος Θεοῦ θάλλον, ἠμφιεσμένος καὶ ἔνδοξος ἐγείρεται, οὐ πρότερον, εἰ μὴ ἀποθανὼν λυθῇ καὶ συμμιγῇ. Ὥςτε τὴν ἀνάστασιν τοῦ σώματος οὐ μάτην πεπιστεύκαμεν. Ἀλλ᾽ εἰ καὶ λύεται πρὸς καιρόν, διὰ τὴν ἀπ᾽ ἀρχῆς γενομένην παρακοήν, ὡς εἰς χωνευτήριον, εἰς γῆν καθίσταται, πάλιν ἀναπλασθησόμενον· οὐ τοιοῦτον ἀνιστάμενον, ἀλλὰ καθαρὸν καὶ μηκέτι φθειρόμενον. Καὶ ἑκάστῳ σώματι ἡ ἰδία ψυχὴ ἀποδοθήσεται, καὶ τοῦτο ἐπενδυσαμένη οὐκ ἀνιαθήσεται, ἀλλὰ συγχαρήσεται καθαρὰ καθαρῷ παραμείνασα...... Πάντες γὰρ δίκαιοί τε καὶ ἄδικοι, ἐνώπιον τοῦ Θεοῦ Λόγου ἀχθήσονται.... οὗτος τὴν Πατρὸς εἰς πάντας δικαιοκρισίαν ποιούμενος, ἑκάστῳ κατὰ τὰ ἔργα παρεσκεύασε τὸ δίκαιον». Αἱ ψυχαί, λέγει, τῶν δικαίων μέχρι τῆς γενικῆς ἀναστάσεως μένουσιν ἔν τινι τόπῳ ἡσυχίας, μὴ ἀναβαίνουσαι εἰς τὸν Οὐρανόν [6]· δ΄.) πρὸς ἁπάσας τὰς αἱρέσεις· ε΄.) κατὰ Βήρωνος καὶ Ἥλικος τῶν αἱρετικῶν· ς΄.) περὶ Χριστοῦ καὶ Ἀντιχρίστου, καὶ ζ΄.) λό-

---

τὸ πρὸς Μαρκίωνα βιβλίον αὐτοῦ. Ὁ Σκαλίγηρος τοὐναντίον νομίζει, ὅτι διὰ τοῦ συγγράμματος τούτου ἐννοεῖται τὸ *περὶ δύο φύσεων τοῦ Χριστοῦ*, ὅπερ, κατὰ τὸν Θεοδώρητον, ἐγράφη ὑπὸ τοῦ ἁγ. Ἱππολύτου (Scalig. apud Fabric. T. I. p. 88). Σ. Μ.

[6] Τὸ βιβλίον τοῦτο, κατὰ τὸν ἱερὸν Φώτιον (ἀνάγν. μη΄.) ἀπεδίδοτο τῷ Ἰωσήπῳ καὶ τοῖς ἁγίοις Ἰουστίνῳ, Εἰρηναίῳ καὶ Γαΐῳ πρεσβυτέρῳ τῆς ῥωμαϊκῆς ἐκκλησίας. Ὁ συγγραφεὺς αὐτοῦ ἐστι χριστιανός, ἀλλ᾽ οὐκ Ἰουδαῖος· διότι διδάσκει τὸν Χριστὸν εἶναι Θεὸν Λόγον καὶ χρῆται εὐαγγελικαῖς ῥήσεσιν. Οὕτω λέγει περὶ τοῦ ἐνανθρωπήσαντος Θεοῦ Λόγου: «Τούτῳ ὁ Πατὴρ πᾶσαν κρίσιν δέδωκεν» (πρβλ. Ἰωάν. έ. 22). Ὡσαύτως λέγει: «Χάος γὰρ βαθὺ καὶ μέγα ἀνὰ μέσον ἐστήρικται, ὥστε μὴ δίκαιον συμπαθήσαντα προσδέξασθαι, μήτε ἄδικον τολμήσαντα διελθεῖν» (πρβλ. Λουκ. ις΄. 26.) Σ. Μ.

γος εἰς τὰ ἅγια Θεοφάνια. Τὰ τελευταῖα τέσσαρα συγγράμματά εἰσι πάνυ σπουδαῖα· διὸ ἀκριβέστερον ἐξεταστέα.

Τῷ Εὐσεβίῳ, τῷ Ἱερωνύμῳ καὶ τῷ Φωτίῳ ἦν γνωστὸν τὸ σύγγραμμα τοῦ ἁγίου Ἱππολύτου πρὸς ἁπάσας τὰς αἱρέσεις ([1]). Μέχρις ἐσχάτων ἦν γνωστὸν ἐκ τῶν ἐκδόσεων μόνον τὸ τελευταῖον μέρος τοῦ μακροῦ τούτου συγγράμματος — ὁμιλία εἴς τὴν αἵρεσιν Νοητοῦ τινος (ἡ Homilia de Deo trino et uno), τὸ δὲ λοιπὸν ἐθεωρεῖτο ἀπολεσθέν. Ἀλλὰ τῷ 1842 εὑρέθη ἐν Ἄθῳ ἀρχαῖον ἑλληνικὸν χειρόγραφον, ἐν ᾧ, ὡς ἀπεδείχθη ἐκ τῶν γενομένων ἐρευνῶν, περιέχονται σχεδὸν τὰ ὀκτὼ βιβλία τοῦ κατὰ αἱρέσεων συγγράμματος τοῦ Ἱππολύτου ([2]). Τὸ σύγγραμμα τοῦτο καλεῖται Φιλοσοφούμενα ἢ κατὰ πασῶν αἱρέσεων ἔλεγχος. Ἡ πρώτη ἐπιγραφὴ ἀναφέρεται κατ' ἐξοχὴν εἰς τὸ πρῶτον βιβλίον, περιέχον ἐξαίρετον σύνοψιν τῆς ἀρχαίας ἑλληνικῆς καὶ ἐν μέρει τῆς ἀνατολικῆς φιλοσοφίας, ἤτοι εἰκόνα τῶν διαφόρων δοξῶν ὡς πρὸς τὰ σπουδαιότατα τῶν ζητημάτων τῆς ἀνθρωπίνης διανοίας. Ἡ εἰκὼν αὕτη ἐσχεδιάσθη, ὡς λέγει ὁ συγγραφεύς, ἵνα ἴδωσιν, ὅτι οἱ αἱρετικοὶ οὐδὲν εἶχον ἴδιον, ἀλλ' ἅπαντα ἠρύοντο ἐκ τῆς ἐθνικῆς φιλοσο-

([1]) Εὐσέβ. Ἐκκλησ. ἱστορ. ς΄. 22. Higron in Catal. C. 61. Φωτ. βιβλ. ἀνάγν. ρκα΄. «Ἀνεγνώσθη βιβλιάριον Ἱππολύτου· μαθητὴς δὲ Εἰρηναίου ὁ Ἱππόλυτος· ἦν δὲ τὸ σύγγραμμα κατὰ αἱρέσεων λβ΄., ἀρχὴν ποιούμενος Δοσιθεανούς, καὶ μέχρι Νοητοῦ καὶ Νοητιανῶν διαλαμβάνων. Ταύτας δέ, φησιν, ἐλέγχοις ὑποβληθῆναι, ὁμιλοῦντος Εἰρηναίου, ὧν καὶ σύνοψιν ὁ Ἱππόλυτος ποιούμενος, τόδε τὸ βιβλίον, φησί, συντεταγέναι. Τὴν δὲ φράσιν σαφής ἐστι καὶ ὑπόσεμνος καὶ ἀπέριττος, εἰ καὶ πρὸς τὸν Ἀττικὸν οὐκ ἐπιστρέφεται λόγον· λέγει δὲ ἄλλα τινὰ τῆς ἀκριβείας λειπόμενα, καὶ ὅτι ἡ πρὸς Ἑβραίους ἐπιστολὴ οὐκ ἔστι τοῦ Ἀποστόλου Παύλου». [ὁ Νικηφόρος ἐκκλ.ἱδ· δ΄. 31]. καλεῖ τὸ βιβλίον τοῦτο *βιωφελέστατον σύνταγμα*. Ἴδ. Tillemont, *Memoires*, tom. III. pag. 108 καὶ Fabric. Hppol. tom. 1, pag. 223 et 225. Σ. Μ.]

([2]) S. Hippolyti contra haereses, oxonii 1851. S. Hppolytus and church od Rome, London, 1851.

φίας (¹). Τὰ ἑπόμενα βιβλία περιέχουσιν ἀνάλυσιν πασῶν τῶν αἱρέσεων κατὰ τὴν τάξιν, καθ᾽ ἣν ἐφάνησαν ἀπὸ τῶν ἀποστολικῶν χρόνων. Ἐν τῷ ἕκτῳ καὶ ἑβδόμῳ βιβλίῳ δανείζεται πολλὰ παρὰ τοῦ διδασκάλου αὐτοῦ Εἰρηναίου. Τὸ δέκατον βιβλίον ἐστὶ σύνοψις πάντων τῶν προηγουμένων μετὰ μακροῦ ἐλέγχου κατὰ τοῦ Νοητοῦ· ὁ ἔλεγχος οὗτός ἐστιν ἀξιοσημείωτος κυρίως, διότι αἱ ἰδέαι τοῦ Νοητοῦ εἰσιν αἱ προσφιλεῖς ἰδέαι τῶν νεωτέρων κριτικῶν.

Ὁ ἅγιος Ἱππόλυτος τὸ μὲν πρῶτον δείκνυσι τὰς βάσεις, ἐφ᾽ ὧν ἐστηρίζετο ἡ διδασκαλία τοῦ Νοητοῦ (§1—3)· ἔπειτα δέ, ἑρμηνεύων τὰς ῥήσεις τῆς ἁγίας Γραφῆς, τὰς ὑπὸ τοῦ Νοητοῦ ἀναφερομένας, ἀντιτίθησιν αὐτῷ ἄλλας ῥήσεις (§4—8). Ἥ τε ἐκλογὴ καὶ ἡ ἑρμηνεία τῶν λέξεων τῆς Γραφῆς εἰσιν ἔργον ἐμπείρου θεολόγου. Σημειωτέον δέ, ὅτι τὰς λέξεις περὶ Χριστοῦ—τοῦ ὄντος ἐπὶ πάντων Θεοῦ εὐλογητοῦ εἰς τοὺς αἰῶνας (Ρωμ. θ΄. 5.), ὁ ἅγ. Ἱππόλυτος ἀποδίδωσι τῷ Θεανθρώπῳ Ἰησοῦ. Περαιτέρω γράφει ὁ Θεόσοφος Διδάσκαλος: «Εἷς Θεός, ὃν οὐκ ἄλλοθεν ἐπιγινώσκομεν, ἀδελφοί, ἢ ἐκ τῶν ἁγίων Γραφῶν· ὃν γὰρ τρόπον, ἐάν τις βούλη-

(¹) Τὸ πρῶτον βιβλίον, τὸ φέρον τὴν ἐπιγραφὴν *φιλοσοφούμενα* ἐξεδόθη πρὸ πολλοῦ ἐν τοῖς συγγράμμασι τοῦ Ὠριγένους (Orig. Opp. Omnia ed. De la Rue T. I. pag. 876.). Ἐν τῷ προλόγῳ λέγει ὁ συγγραφεύς, ὅτι «προὐτίθετο τὰς πάντων αἱρέσεις κατὰ λεπτὸν ἐκθεῖναι». Ἀλλὰ τίς ὁ συγγραφεύς, ἠγνοεῖτο. Γρονόβιος, ὁ πρῶτος ἐκδότης τοῦ συγγράμματος, ἡγεῖτο αὐτὸ ἔργον τοῦ Ὠριγένους. Ἀλλ᾽ ὁ Δελαρῶν ὀρθῶς παρετήρησεν, ὅτι ὁ συγγραφεὺς ἐν τῷ προλόγῳ καλεῖ ἑαυτὸν Ἀρχιερέα (ed Orig. I, 876), ὁ δὲ Ὠριγένης οὐκ ἦν ἀρχιερεύς. Νῦν δὲ αἱ ἀμφιβολίαι ἐξέλιπον. Ἐν τῷ πρώτῳ βιβλίῳ ὁ ἅγιος Ἱππόλυτος ἐκτίθησι διὰ βραχέων τὴν ἱστορίαν τῆς ἑλληνικῆς φιλοσοφίας λέγει α΄) περὶ τῶν φυσικῶν Θάλητος, Πυθαγόρου, Ἐμπεδοκλέους, Ἡρακλείτου (κεφ. 1-6)· β΄) περὶ Ἀναξιμάνδρου, Ἀναξιμένους, Ἀναξαγόρου, Ἀρχελάου, καὶ ἄλλων (6-11)· γ΄) περὶ Παρμενίδου, Λευκίππου, Δημοκρίτου, Ξενοφάνους, Ἐκφάντου, καὶ Ἵππωνος (11-17)· τέλος δ΄) μεταβαίνων μετὰ ταῦτα εἰς τοὺς ἠθικούς, ἐξετάζει τὴν διδασκαλίαν τοῦ Σωκράτους, τοῦ Πλάτωνος, τοῦ Ἀριστοτέλους, τῶν Στωϊκῶν, τοῦ Ἐπικούρου, Πύρρωνος τοῦ Ἀκαδήμου, τῶν ἐν Ἰνδοῖς Βραχμάνων, τῶν ἐν Κελτοῖς Δρυΐδων, καὶ τοῦ ποιητοῦ Ἡσιόδου (18-26).

θῇ τὴν σοφίαν τοῦ αἰῶνος τούτου ἀσκεῖν, οὐκ ἄλλως δυνήσεται τούτου τυχεῖν, ἐὰν μὴ δόγμασι φιλοσόφων· τὸν αὐτὸν δὴ τρόπον, ὅσοι θεοσέβειαν ἀσκεῖν βουλόμεθα, οὐκ ἄλλοθεν ἀσκήσομεν, ἢ ἐκ τῶν λογίων τοῦ Θεοῦ. Ὅσα τοίνυν κηρύσσουσιν αἱ θεῖαι Γραφαί, ἴδωμεν, καὶ ὅσα διδάσκουσιν, ἐπιγνῶμεν, καὶ ὡς θέλει Πατὴρ πιστεύεσθαι, πιστεύσωμεν, καὶ ὡς θέλει Υἱὸν δοξάζεσθαι, δοξάσωμεν, καὶ ὡς θέλει Πνεῦμα ἅγιον δωρεῖσθαι, λάβωμεν. Μὴ κατ' ἰδίαν προαίρεσιν, μηδὲ κατ' ἴδιον νοῦν, μηδὲ βιαζόμενοι τὰ ὑπὸ τοῦ Θεοῦ δεδομένα· ἀλλ' ὃν τρόπον αὐτὸς ἐβουλήθη διὰ τῶν ἁγίων Γραφῶν δεῖξαι, οὕτως ἴδωμεν» (§. 9). Τούτοις δ' ἕπεται ἡ ἔκθεσις τῆς διδασκαλίας περὶ τῆς ἁγίας Τριάδος κατὰ τὴν ὁδηγίαν τῆς θείας ἀποκαλύψεως.

«Θεὸς μόνος ὑπάρχων, καὶ μηδὲν ἔχων ἑαυτῷ σύγχρονον, ἠβουλήθη κόσμον κτίσαι. Ὁ κόσμον ἐννοήσας, θελήσας τε καὶ φθεγξάμενος ἐποίησεν, ᾧ παραυτίκα παρέστη τὸ γενόμενον, ὡς ἠθέλησεν. Αὔταρκες οὖν ἡμῖν ἐστι μόνον εἰδέναι, ὅτι οὐδὲν σύγχρονον Θεοῦ. Οὐδὲν πλὴν αὐτὸς ἦν· αὐτὸς δὲ μόνος ὤν, πολὺς ἦν. Οὔτε γὰρ ἄλογος, οὔτε ἄσοφος, οὔτε ἀδύνατος, οὔτε ἀβούλευτος ἦν. Πάντα δὲ ἦν ἐν αὐτῷ, αὐτὸς δὲ ἦν τὸ πᾶν. Ὅτε ἠθέλησε, καθὼς ἠθέλησεν, ἔδειξε τὸν Λόγον Αὐτοῦ καιροῖς ὡρισμένοις παρ' Αὐτῷ, δι' οὗ τὰ πάντα ἐποίησεν. Ὅτε μὲν θέλει, ποιεῖ· ὅτε δὲ ἐνθυμεῖται, τελεῖ· ὅτε δὲ φθέγγεται, δεικνύει· ὅτε πλάσσει, σοφίζεται. Πάντα γὰρ τὰ γενόμενα διὰ λόγου καὶ σοφίας τεχνάζεται, λόγῳ μὲν κτίζων, σοφίᾳ δὲ κοσμῶν. Ἐποίησεν οὖν, ὡς ἠθέλησε, Θεὸς γὰρ ἦν. Τῶν δὲ γινομένων ἀρχηγὸν καὶ σύμβουλον καὶ ἐργάτην ἐγέννα Λόγον[α], ὃν Λόγον ἔχων ἐν ἑαυτῷ, ἀόρατόν τε ὄντα τῷ κτιζομένῳ κόσμῳ,

[α] *Ἐγέννα Λόγον.* Ὁ Ἱππόλυτος λέγει τὸν Θεὸν γεννῆσαι τὸν Λόγον, ὃν ἀϊδίως ἔσχεν ἐν ἑαυτῷ. Πῶς; Αὐτόν, λέγει, ἔδειξε καιροῖς ὡρισμένοις παρ' ἑαυτῷ· αὐτὸν τῇ κτίσει ὡς Κύριον προῆκεν· αὐτὸν τέλος ἑαυτῷ μόνον πρότερον γνωστὸν ὄντα, ὁρατὸν τῷ κόσμῳ ἐποίησε. «Generatio, λέγει ὁ περικλεὴς Βοῦλλος, de qua loquitur Hippolytus, non est Verbi productio; sed ipsius ex aeterno Patri coexistentis, ostensio, depromptio, et manifestatio, quæ res creatas respexerit» (Bull. defens. fid. Nicaen., sect. III. c. 8. pag. 219.) Σ. Μ.

ὁρατὸν ποιεῖ, προτέραν φωνὴν φθεγγόμενος, καὶ φῶς ἐκ φωτὸς [β] γεννῶν, προῆκε τῇ κτίσει Κύριον, τὸν ἴδιον νοῦν [γ], αὐτῷ μόνῳ πρότερον ὁρατὸν ὑπάρχοντα, τῷ δὲ γινομένῳ κόσμῳ ἀόρατον ὄντα ὁρατὸν ποιεῖ, ὅπως διὰ τοῦ φανῆναι ἰδὼν ὁ κόσμος, σωθῆναι δυνηθῇ. Καὶ οὕτω παρίστατο αὐτῷ ἕτερος. Ἕτερον δὲ λέγων [δ], οὐ δύο Θεοὺς λέγω, ἀλλ' ὡς φῶς ἐκ φωτός, ἢ ὡς ὕδωρ ἐκ πηγῆς, ἢ ὡς ἀκτῖνα ἀπὸ Ἡλίου. Δύναμις γὰρ μία ἡ ἐκ τοῦ παντός· τὸ δὲ πᾶν Πατήρ, ἐξ οὗ δύναμις Λόγος. Οὗτος δὲ νοῦς, ὃς προβὰς ἐν κόσμῳ ἐδείκνυτο παῖς Θεοῦ. Πάντα τοίνυν δι' αὐτοῦ, αὐτὸς δὲ μόνος ἐκ Πατρός». Ἐπὶ τούτου ἐρειδόμενος ἀναφέρει τὸ: Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. «Εἰ δὲ οὖν ὁ Λόγος πρὸς τὸν Θεόν, Θεὸς ὤν, τί οὖν; φήσειεν ἄν τις δύο λέγειν Θεούς; Δύο μὲν οὐκ ἐρῶ Θεούς, ἀλλ' ἢ ἕνα, πρόσωπα δὲ δύο, οἰκονομίαν δὲ τρίτην, τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Πατὴρ μὲν γὰρ εἷς, Πρόσωπα δὲ δύο, ὅτι καὶ ὁ Υἱός, τὸ δὲ τρίτον, τὸ ἅγιον Πνεῦμα» [ε]. Πρὸς ὑποστήριξιν δὲ τοῦ τριαδικοῦ

[β] Οὕτως ἔλεγον οἱ πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου Πατέρες, ἐκτὸς τοῦ ἁγίου Ἱππολύτου, ὁ Ἰουστῖνος, Τατιανός, καὶ Ἀθηναγόρας. Πρόσθες τούτοις τὸν Μεθόδιον ἐν τῇ ὁμιλίᾳ περὶ τοῦ Συμεὼν καὶ τῆς Ἄννης, σελ. 152. «Σὺ εἶ φῶς ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ, Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ». Ὁ μέγας Ἀθανάσιος εἶπε μετὰ ταῦτα: *Λύχνον ἐκ Λύχνου*, Τ. Α. σελ. 881. Σ. Μ.

[γ] *Ἴδιον νοῦν*. Ὁ Υἱὸς λέγεται *Νοῦς, Σοφία τοῦ Πατρός*. Ἐν τῷ ιγ'. κεφ. λέγει: *Θέλημα τοῦ Πατρός ἐστιν Ἰησοῦς Χριστός*. Σ. Μ.

[δ] *Ἕτερον δὲ λέγων*. Justino Martyri, λέγει ὁ Φαβρίκιος, quando Filius *ἑτερόν τι* a Patre esse dicitur, et Tertulliano quando «Filium et Patrem esse aliud ab alio» affirmat, eadem quæ Hippolyto mens, ut Personarum distinctionem ostendant, non ut *ὁμοούσιον* inficientur. Σ. Μ.

(ε) *Δύο μὲν οὐκ ἐρῶ Θεούς .... ἅγιον Πνεῦμα*. «Liquet ex hoc testimonio, λέγει ὁ σοφὸς Μαρανὸς (T. c. pag. 457.) unum omnino Deum, tres Personas ab Hippolyto doceri. Paulo ante cap. 8 dixerat unum Deum esse secundum virtutem, sive secundum essentiam divinam, quæ una prorsus est in tribus Personis; secundum autem œconomiam tres Personas ostendi. Intelligit ergo, ut Tertul-

τῶν προσώπων ἀναφέρει προσέτι τὴν περὶ τοῦ βαπτίσματος ἐντολὴν τοῦ Κυρίου (§ 10 — 14).

«'Αλλ' ἐρεῖ μοί τις ξένον μοι φέρεις, Λόγον λέγων Υἱόν. 'Ιωάννης μὲν γὰρ λέγει Λόγον, ἀλλ' ἄλλως ἀλληγορεῖ». 'Ο 'Ιππόλυτος ἀποκρίνεται, ὅτι οὐκ ἀλληγορεῖ ὁ Εὐαγγελιστής. «Οὕτω γὰρ δεικνύων τὸν Λόγον τοῦ Θεοῦ τοῦτον ὄντα ἀπ' ἀρχῆς καὶ νῦν ἀπεσταλμένον, ὑποδὰς ἐν τῇ 'Αποκαλύψει ἔφη: Καὶ εἶδον τὸν οὐρανὸν ἠνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ' αὐτοῦ πιστὸς καὶ ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ φλὸξ πυρός· καὶ διαδήματα πολλὰ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰμὴ αὐτός. Καὶ περιβεβλημένος ἱμάτιον ἐρραντισμένον αἵματι· καὶ κέκληται τὸ ὄνομα αὐτοῦ, ὁ Λόγος τοῦ Θεοῦ ('Αποκαλ. ιθ'. 11 — 13). 'Ορᾶτε οὖν, ἀδελφοί, πῶς ἐν συμβόλῳ [ς] τὸ ἱμάτιον τὸ ἐρραντισμένον αἵματι, τὴν σάρκα διηγήσατο, δι' ἧς καὶ ὑπὸ πάθος ἦλθεν ὁ ἀπαθὴς τοῦ Θεοῦ Λόγος» (§ 15). Οἱ λόγοι οὗτοί εἰσιν ἀξιοσημείωτοι διά τε τὴν πιστὴν ἑρμηνείαν τῶν λόγων τοῦ Εὐαγγελιστοῦ καὶ τὴν περὶ τῆς 'Αποκαλύψεως διδασκαλίαν.

«Πῶς γεγέννηται (ὁ Λόγος); Τὴν μὲν κατὰ σὲ διήγησιν, ὡς γεγέννησαι, οὐ δύνῃ ἐξειπεῖν, καίτοι τῆς ἑκάστης ἡμέρας ὁρῶν τὴν

---

lianus *adversus Praxeam* c. 3. œconomiæ nomine «numerum et Dispositionem Trinitatis». Hoc autem loco gratiam Spiritus Sancti appellat «tertiam œconomiam»· sed eodem sensu ac Tertullianus, qui Spiritum Sanctum appellat «*tertium gradum*». Num gradus, forma, species, dispositio sive œconomia, idem sonant apud Tertullianum. Quare si Spiritus Sanctus dicitur tertius gradus, dici etiam potest tertia dispositio sive œconomia. Minus accurate in latina interpretatione incarnatio «*œconomiae*» nomine designatur, in his verbis quæ leguntur c. 3: «Τίς γὰρ οὐκ ἐρεῖ ἕνα Θεὸν εἶναι; ἀλλ' οὐ τὴν οἰκονομίαν ἀναιρήσει»... Non incarnationem, sed numerum et dispositionem Trinitati considerat Hippolytus hoc in loco et in pluribus aliis». Σ. Μ.

(ς) *'Εν συμβόλῳ*. Δηλονότι ἐν τῇ εἰκόνι, ᾗ χρῆται καὶ ὁ προφήτης Ἠσαΐας ξγ'. 1. Φαβρίκ. Σ. Μ.

κατὰ ἄνθρωπον αἰτίαν, καὶ τὴν περὶ τοῦτον οἰκονομίαν ἀκριβῶς ἐξειπεῖν οὐ δύνασαι. Οὐ γὰρ πάρεστί σοι γινώσκειν τὴν τοῦ δημιουργήσαντος ἔμπειρον καὶ ἀνεκδιήγητον τέχνην, ἀλλ' ἢ μόνον ὁρῶντα νοεῖν καὶ πιστεύειν, ὅτι ἔργον Θεοῦ ἄνθρωπος. Περὶ δὲ Λόγου γένεσιν ζητεῖς, ὅνπερ βουληθεὶς ὁ Θεὸς Πατὴρ . . .» (§ 16). Ἐπὶ δὲ τούτοις διὰ βραχέων μέν, ἀλλὰ μετὰ μεγίστης σαφηνείας ἐκτίθησι τὴν διδασκαλίαν περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου καὶ τοῦ σκοποῦ αὐτῆς. «Πιστεύσωμεν οὖν, μακάριοι ἀδελφοί, κατὰ τὴν παράδοσιν τῶν Ἀποστόλων, ὅτι Θεὸς Λόγος ἀπ' οὐρανῶν κατῆλθεν εἰς τὴν ἁγίαν Παρθένον Μαρίαν[*], ἵνα σαρκωθεὶς ἐξ αὐτῆς, λαβὼν

(*) Καίτοι ὁ ἅγιος Ἱππόλυτος οὐδαμοῦ τῶν συγγραμμάτων αὐτοῦ καλεῖ τὴν παναγίαν Παρθένον Μαρίαν Θεοτόκον, ὅμως χρῆται σποράδην τοιαύταις λέξεσι περὶ αὐτῆς, ἐξ ὧν ἡλίου φαεινότερον γίγνεται δῆλον, ὅτι ἐπίστευεν εἰς τὴν μακαριωτάτην Παρθένον καὶ Μητέρα τοῦ Θεοῦ, καὶ ὡς τοιαύτην ἐσέβετο. Σαφέσι λόγοις ὁμολογεῖ τὴν Μαρίαν συλλαβεῖν ἐν γαστρὶ καὶ βαστάσαι τὸν Λόγον τοῦ Θεοῦ: «Εἰπέ μοι, ὦ μακαρία Μαρία, τί ἦν τὸ ὑπὸ Σοῦ ἐν τῇ κοιλίᾳ συνειλημμένον καὶ τί ἦν τὸ ὑπὸ Σοῦ ἐν παρθενικῇ μήτρᾳ βασταζόμενον; Λόγος γὰρ ἦν Θεοῦ πρωτότοκος ἀπ' οὐρανῶν ἐπὶ Σὲ κατερχόμενος, καὶ ἄνθρωπος πρωτότοκος ἐν κοιλίᾳ πλασσόμενος . . .» (παρὰ Θεοδωρ. Διάλ. Ά. Τ. 4. σελ. 27. ἔκδ. Εὐγεν. τοῦ Βουλγ.). Τὸ ἀειπάρθενον Αὐτῆς ἐξόχως διαγράφει λέγων: «Ὁ τῶν ὅλων Δημιουργὸς ἐκ τῆς Παναγίας ἀειπαρθένου Μαρίας, κατὰ σύλληψιν ἄχραντον, δίχα τροπῆς, ἐνουσιώσας ἑαυτῷ ψυχὴν νοερὰν μετὰ αἰσθητικοῦ σώματος, γέγονεν ἄνθρωπος φύσει κακίας ἀλλότριος· ὅλος Θεὸς ὁ αὐτός . . .» (κατὰ Βήρωνος καὶ Ἥλικος Τ. 10. σελ. 840. ed Migne). Ἡ δὲ ἄκρα πρὸς τὴν Θεομήτορα τοῦ ἁγίου Ἱππολύτου εὐσέβεια, ἢ κληρονομικῷ τινι δικαιώματι μετέβη αὐτῷ, καὶ ἣ παρὰ τοῦ Ἀποστόλου Ἰωάννου τῷ Πολυκάρπῳ, παρὰ τοῦ Πολυκάρπου τῷ Εἰρηναίῳ, παρὰ τοῦ Εἰρηναίου τῷ Ἱππολύτῳ καὶ ἄλλοις μετεδόθη, δείκνυται ἐκ τῶν ἑπομένων λαμπρῶν αὐτοῦ λόγων: «Ἐν ᾧ χρόνῳ παρὼν ὁ Σωτὴρ ἐκ τῆς Παρθένου τῆς *κιβωτοῦ*· τὸ ἴδιον σῶμα τῷ κόσμῳ προσήνεγκεν· χρυσίῳ καθαρῷ κεχρυσωμένης ἔνδοθεν μὲν τῷ Λόγῳ, ἔξωθεν δὲ τῷ Πνεύματι τῷ ἁγίῳ· ὥστε ἀποδέδεικται ἡ ἀλήθεια, καὶ πεφανέρωται ἡ *κιβωτὸς*» (εἰς Δανιὴλ. Τ. 10. σελ. 648. ed Migne). Ὅμοια δὲ τούτοις ἐκ τοῦ λόγου τοῦ Ἱππολύτου *εἰς τὸ Κύριος ποιμαίνει με* διέσωσεν ὁ Θεοδώρητος (Διάλ. Ά. Τ. 4. σελ.

δὲ καὶ ψυχὴν τὴν ἀνθρωπίνην, λογικὴν δὲ λέγω, γεγονὼς πάντα ὅσα ἐστὶν ἄνθρωπος, ἐκτὸς ἁμαρτίας, σώσῃ τὸν πεπτωκότα, καὶ ἀφθαρσίαν ἀνθρώποις παράσχῃ τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ .... Καθ' ὃν οὖν τρόπον ἐκηρύχθη, κατὰ τοῦτον καὶ παρὼν ἐφανέρωσεν ἑαυτὸν ἐκ Παρθένου καὶ ἁγίου Πνεύματος, καινὸς ἄνθρωπος γενόμενος· τὸ μὲν οὐράνιον ἔχων τὸ Πατρῷον ὡς Λόγος, τὸ δὲ ἐπίγειον ὡς ἐκ παλαιοῦ Ἀδὰμ διὰ Παρθένου σαρκούμενος. Οὗτος προελθὼν εἰς κόσμον Θεὸς ἐν σώματι ἐφανερώθη, ἄνθρωπος τέλειος προελθών, οὐ γὰρ κατὰ φαντασίαν ἢ τροπήν, ἀλλ' ἀληθῶς γενόμενος ἄνθρωπος». Τῷ συγγράμματι ἐπιτίθησι τέλος διὰ δοξολογίας τοῦ Λόγου: «Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος ἅμα Πατρὶ καὶ ἁγίῳ Πνεύματι, ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν» (§ 17 — 18).

Τὸ σύγγραμμα κατὰ Βήρωνος καὶ Ἥλικος ὀπαδῶν τοῦ Οὐαλεντίνου, ἀφίκετο μέχρις ἡμῶν μόνον ἐν τεμαχίοις (1).

---

27. ἐκδ. Εὐγ. τοῦ Βουλγ.): «Καὶ κιβωτὸς δὲ ἐκ ξύλων ἀσήπτων αὐτὸς ἦν ὁ Σωτήρ. Τὸ γὰρ ἄσηπτον αὐτοῦ καὶ ἀδιάφθορον σκῆνος ταύτῃ κατηγγέλλετο, τὸ μηδεμίαν ἁμαρτήματος σηπεδόνα φῦσαν. Ὁ γὰρ ἁμαρτήσας, καὶ ἐξομολογούμενός φησι, *Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου*. Ὁ δὲ Κύριος ἀναμάρτητος ἦν, ἐκ τῶν ἀσήπτων ξύλων τὸ κατὰ ἄνθρωπον, τουτέστιν ἐκ τῆς *Παρθένου* καὶ τοῦ ἁγίου Πνεύματος, ἔσωθεν καὶ ἔξωθεν τοῦ Λόγου τοῦ Θεοῦ, οἷα καθαρωτάτῳ χρυσίῳ, περικεκαλυμμένος». Τὰ αὐτὰ σχεδὸν ἐκ τοῦ ἁγίου Εἰρηναίου ἔχει ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνός. ἴδ. Lumper de vir. et siript. S. Hip. — Σ. Μ.

(1) Ἀναστάσιος ὁ πρεσβύτερος καὶ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀποκρισάριος περὶ τὸ μέσον τοῦ ἑβδόμου αἰῶνος μαρτυρεῖ, ὅτι κατὰ τὴν ἐν Κωνσταντινουπόλει διαμονὴν αὐτοῦ, εὗρε βιβλίον τοῦ ἁγίου Ἱππολύτου, ὅπερ ἠβουλήθη ἀντιγράψαι, ἀλλ' εὐθὺς ἀφηρπάσθη ἀπ' αὐτοῦ ὑπὸ τῶν Μονοθελητῶν· ἀντέγραψε δὲ μόνον ἐξ αὐτοῦ ὀκτὼ χωρία ἢ μαρτυρίας. «Praeterea, λέγει, misi ad praesens cum hac epistola mea. . .notulam habentem testimonia ex dictis S. Hippolyti episcopi Portus Romani ac Martyris Christi Dei nostri, quo et per ea nosse habeatis, quam concorditer cum aliis omnidus sanctis Patribus Salvatoris nostri Jesu Christi prædicet naturas et operationes; refellat autem eos, qui unam ope-

Ὁ Βήρων μετὰ τῶν ὀπαδῶν αὐτοῦ ἀπεδέχετο σύγχυσιν τῶν δύο φύσεων ἐν Χριστῷ «ἐνεργείας ἐν μονάδι»· ἐπίστευεν, ὅτι ὁ Λόγος ἐγένετο σὰρξ δι᾿ ἀλλοιώσεως τῆς μὲν θείας φύσεως εἰς τὴν ἀνθρωπίνην, τῆς δὲ ἀνθρωπίνης εἰς τὴν θείαν. Αἱ κύριαι ἔννοιαι αἱ ἐν τοῖς μέχρις ἡμῶν ἀφικομένοις τεμαχίοις τοῦ συγγράμματος τοῦ Ἱππολύτου εἰσὶν αἱ ἑξῆς: ὁ Λόγος διὰ τῆς προσλήψεως τῆς σαρκὸς καὶ τῆς ἀνθρωπίνης φύσεως οὐδεμίαν κατὰ τὴν Θεότητα ὑπέστη ἀλλοίωσιν (Τεμάχ. Α΄.)· αἱ δύο φύσεις καὶ αἱ δύο θελήσεις ἦσαν ἀσύγχυτοι ἐν τῷ Χριστῷ. Ὁ Θεὸς ἐνηνθρώπησεν, «ἵνα σαρκὶ μὲν παθητῇ πάσχων, ἅπαν ἡμῶν τὸ τῷ θανάτῳ πραθὲν λυτρώσηται γένος· ἀπαθεῖ δὲ Θεότητι διὰ σαρκὸς θαυματουργῶν, πρὸς τὴν ἀκήρατον αὐτοῦ καὶ μακαρίαν ἐπαναγάγῃ ζωήν, ἧς ἀπέπεσε τῷ διαβόλῳ πειθόμενος» (Τεμ. Β΄.). Ἑρμηνεύεται, τίνι τρόπῳ ὁ Θεὸς ἐνήργει διὰ τῆς σαρκὸς (Τεμ. Γ΄.)· πῶς ἐν ταῖς δυσὶ φύσεσιν ἔμενον ἀσύγχυτοι αἱ ἐνέργειαι αὐτῶν (Τεμ. Δ΄.)· ἐν τῷ Χριστῷ ὑπάρχει ἓν πρόσωπον· ἡ σὰρξ οὐ δύναται ἀλλοιωθῆναι εἰς τὴν θείαν φύσιν καὶ ἡ ἀνθρωπίνη ἐνέργεια διακρίνεται τῆς θείας (Τεμ. Ε΄.). Τέλος ἐκ τούτων ὁ θεῖος διδάσκαλος συνάγει τάδε: «. . . Ἀλλ᾿ εὐσεβῶς ὁμολογεῖ, πιστεύων, ὅτι διὰ τὴν ἡμῶν σωτηρίαν, καὶ τὸ δῆσαι πρὸς ἀτρεψίαν τὸ πᾶν, ὁ τῶν ὅλων Δημιουργὸς ἐκ τῆς παναγίας ἀειπαρθένου Μαρίας, κατὰ

---

rationem et naturum unam divinitatis et hamauitatis ejus dogmatizant. . . . Hunc librum Byzantii nobis, antequam passi fuissemus, delatum, cum hunc totum vellemus transcribere, subito juxta consuetudinem suam insistentes adversarii latronum more rapuerunt, et non voluimus ex ipso quam octo haec testimonia tollere». Anast. epist. ad Theodos. presbyt. Gangresis. Tom. III. Opp. Sirmondi, pag. 579. Τὰ ὀκτὼ ταῦτα τεμάχια ἐκ τοῦ λόγου περὶ *Θεολογίας καὶ σαρκώσεως* κατὰ Βήρωνος καὶ Ἥλικος διέσωσαν ἡμῖν, ἑλληνιστὶ μὲν ὁ ἅγιος Νικηφόρος ὁ ὁμολογητὴς *ἐν τοῖς ἀντιρρητικοῖς* αὐτοῦ κατὰ τῶν εἰκονομάχων, λατινιστὶ δὲ ὁ Ἀνάστασιος ὁ Ἀποκρισάριος ἐν τοῖς *σολλέκτοις* αὐτοῦ (collectanea). Τὰ τεμάχια ταῦτα ἐτυπώθησαν ὑπὸ τοῦ Σιρμόνδου (Opp. T. 3. pag. 583.) ὑπὸ τοῦ Κανισίου (T. I. antiquarum lectionum, ed. Basnagii) καὶ ὑπὸ τοῦ Φαβρικίου. Ἄλλα μέρη τοῦ αὐτοῦ συγγράμματος ἐξεδόθησαν ὑπὸ τοῦ Μαΐου (nov. collat. vet. auct. T. VII. p. 14. 68).

σύλληψιν ἄχραντον, δίχα τροπῆς, ἐνουσιώσας ἑαυτῷ ψυχὴν νοερὰν μετὰ αἰσθητικοῦ σώματος, γέγονεν ἄνθρωπος φύσει κακίας ἀλλότριος· ὅλος Θεὸς ὁ αὐτός, καὶ ὅλος ἄνθρωπος ὁ αὐτός· ὅλος Θεὸς ὁμοῦ φύσει καὶ ἄνθρωπος ὁ αὐτός. Θεότητι μὲν τὰ Θεῖα διὰ τῆς αὐτοῦ παναγίας σαρκός, οὐκ ὄντα φύσει τῆς σαρκὸς ἐνεργῶν· ἀνθρωπότητι δὲ τὰ ἀνθρώπινα, οὐκ ὄντα φύσει Θεότητος, ἀνοχῇ πάσχων Θεότητος. Μηδὲν Θεῖον γυμνὸν σώματος ἐνεργήσας· μηδὲ ἀνθρώπινον ὁ αὐτὸς ἄμοιρον δράσας Θεότητος· τηρῶν ἑαυτῷ καὶ καθ᾽ ὃν ἐνήργησεν ἀμφότερα καινοπρεπῆ τρόπον, τὸ κατ᾽ ἄμφω φυσικῶς ἀναλλοίωτον· εἰς πίστωσιν τῆς ἑαυτοῦ τελείας ἐνανθρωπήσεως, τῆς ὄντως ἀληθοῦς, καὶ μηδὲν ἐχούσης φαυλότητος. Ὁ μὲν οὖν Βήρων, οὕτως ἔχων, ὡς ἔφην, ἐνεργείας μονάδι τὴν Θεότητα τοῦ Χριστοῦ καὶ τὴν ἀνθρωπότητα συγχέας ὁμοῦ φυσικῶς, καὶ προσωπικῶς μερίζων, καταλύει τὸν βίον· ἀγνοήσας μόνης τῆς τῶν ὁμοφυῶν προσώπων ὁμοφυοῦς ταυτότητος τὴν ταυτουργίαν εἶναι δηλωτικήν» (Τεμάχ. Η΄.).

Τὸ κατὰ Βήρωνος καὶ Ἥλικος σύγγραμμα ἐγένετο γνωστὸν ἀπὸ τοῦ μέσου τοῦ ἑβδόμου αἰῶνος· ἀλλ᾽ ἡ γνησιότης αὐτοῦ ἐστιν αναμφήριστος. Ἡ φράσις αὐτοῦ ἐστι τέλεον ἡ αὐτὴ τῇ τοῦ κατὰ αἱρέσεων συγγράμματος, καὶ ἐν τῇ οὐσίᾳ ἐστὶν ὅμοιον τῇ περὶ ἐνσαρκώσεως διδασκαλίᾳ, ἣν ὁρῶμεν ἐν τῷ τοῦ Νοητοῦ ἐλέγχῳ, ἢ ἐν τῇ ἑρμηνείᾳ τοῦ αὐτοῦ Ἱππολύτου εἰς τὸ βιβλίον τῶν Ἀριθμῶν (¹). Ἡ διαφορὰ μόνον συνίσταται εἰς τοῦτο, ὅτι διὰ μὲν τὸν Νοητὸν ἡ ἔννοια: ὁ Λόγος ἐνηνθρώπησε τροπὴν μὴ ὑποστάς, ἐξετίθετο ἐν εἴδει σημειώσεως, ὁριζούσης τὸ εἶδος τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ—Λόγου, διὰ δὲ τὸν Βήρωνα καὶ τὸν Ἥλικα ἡ αὐτὴ ἔννοια ἀναπτύσσεται ἐν λεπτομερείᾳ. Πρὸς δὲ τούτοις, ἐὰν παραδεχθῶμεν, ὅτι ὁ Βήρων καὶ ὁ Ἧλιξ ἦσαν ὀπαδοὶ τοῦ Οὐαλεντίου, κατὰ δὲ τὸν χρόνον τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου οὐκ ἦσαν ἤδη οἱ αἱρετι-

(¹) Fragm. comm. in Numer. ap. Fabric. I. 266.

καὶ οὗτοι(¹), ἡ ἀρχαιότης τοῦ ἐλέγχου τοῦ Βήρωνός ἐστι πρόδηλος(*).

(¹) Λόγ. κγ΄. σελ. 414.

(*) Ὁ ἱστορικὸς Ἀλέξανδρος ὁ Νατάλιος (Hist eccles., sæc. III. c. 4. articul. I, pag. 65.) οὐ παραδέχεται τὴν γνησιότητα τοῦ κατὰ Βήρωνος καὶ Ἥλικος συγγράμματος τοῦ ἁγίου Ἱππολύτου, λέγων, ὅτι οὐκ ἐποιήσαντο μνείαν αὐτοῦ οἱ ἀρχαῖοι, καὶ ὅτι ἐν αὐτῷ ἀνασκευάζονται αἱ πλάναι τοῦ Ἀπολιναρίου καὶ τῶν Εὐτυχιανῶν. Ἐγράφη δέ, κατ᾽ αὐτόν, οὐ μόνον μετὰ τὰς αἱρέσεις τοῦ Ἀπολιναρίου καὶ τῶν Εὐτυχιανῶν, ἀλλὰ καὶ μετὰ τὴν τῶν Μονοθελητῶν, διότι ἐν τῷ πλείστῳ αὐτοῦ μέρει δείκνυνται αἱ δύο ἐν τῷ Χριστῷ ἐνέργειαι. Οἱ λόγοι τοῦ ἱστορικοῦ τούτου οὐκ εἰσιν ἰσχυροί, διότι καὶ ὁ μέγας Ἀθανάσιος, ὁ γράψας πολὺν χρόνον πρὸ τῶν αἱρέσεων τῶν Μονοθελητῶν, τῶν Νεστοριανῶν, καὶ τῶν Εὐτυχιανῶν, οὐχ ἧττον ὁμολογεῖ δύο θελήσεις (περὶ τῆς ἐνσάρκου ἐπιφαν. τοῦ Θεοῦ Λόγου κατὰ Ἀρειαν. σελ. 887 καὶ 888. κατὰ Ἀπολιναρ. βιβλ. Α΄. σελ. 936) καὶ δύο φύσεις ἐν τῷ Ἰησοῦ Χριστῷ ἄνευ συγχύσεως ἢ ἀλλοιώσεως, καὶ τὴν παναγίαν Παρθένον Μαρίαν τιμᾷ πολλάκις τῇ ἐπωνυμίᾳ Μητρὸς τοῦ Θεοῦ, Θεοτόκου (Τομ. Α΄. σελ. 563, 579, 583, 642, 875. κ.τ.λ.). Ὁ Τερτυλλιανός, ὅς ἐστι πολλῷ ἀρχαιότερος τοῦ ἁγίου Ἀθανασίου, τὴν διάκρισιν τῶν δύο φύσεων, καὶ τὴν ταυτότητα τοῦ ἑνὸς ἐν τῷ Χριστῷ Ἰησοῦ προσώπου οὕτω λαμπρῶς ἐξέθηκεν, ὡς εἰ ἐπολέμει τῇ αἱρέσει τοῦ Νεστορίου καὶ τοῦ Εὐτυχοῦς. «Deus, λέγει, neque desinit esse, neque aliud potest esse. Sermo autem Deus; et Sermo Domini manet in æternum, perseverando scilicet in sua forma. Quem si non capit transfigurari, consequens est, ut sic caro factus intelligatur, dum fit in carne, et manifestatur, et videtur, et contrectatur per carnem; quia et cætera sic accipi exigunt. Si enim Sermo transfiguratione et demutatione substantiæ caro factus est, una jam erit substantia Jesus ex duabus, ex carne, ex Spiritu mistura quædam, . . . et tertium quid efficitur. Neque ergo Deus erit Jesus, Sermo enim desiit esse, qui caro factus est, neque caro, id est homo; caro enim non proprie est, qui Sermo fuit, ita ex utroque neutrum est; aliud longe tertium est, quam utrumque. Sed enim invenimus illum directo, et Deum, et hominem expositum, ipso hoc Psalmo suggerente : *Quoniam Deus homo natus est in illa . . . .* Videmus duplicem statum non confusum, sed conjunctum in una persona, Deum et hominem Jesum. Et adeo salva est utriusque proprietas substantiæ, ut et Spi-

§ 55. *Ἀπόδειξις περὶ Χριστοῦ καὶ ἀντιχρίστου. Λόγος εἰς τὰ ἅγια Θεοφάνεια.*

Τὸ γνωστὸν καὶ τοῖς ἀρχαίοις (¹) σύγγραμμα τοῦ ἁγίου Ἱππολύτου Ἀ π ό δ ε ι ξ ι ς π ε ρ ὶ Χ ρ ι σ τ ο ῦ κ α ὶ ἀ ν τ ι χ ρ ί σ σ τ ο υ συνεγράφη, ὡς λέγει αὐτὸς ὁ συγγραφεύς, κατὰ παράκλησιν Θεοφίλου τινός, ᾧ καὶ ἀνέθηκεν αὐτό [α]. Πρὶν ἢ ἄρξηται ὁ ἅγιος Ἱππόλυτος τῆς π ε ρ ὶ ἀ ν τ ι χ ρ ί σ τ ο υ πραγματείας ἀποκρίνεται εἰς δύο ἐρωτήσεις: τίνι τρόπῳ ὁ Λόγος τοῦ Θεοῦ πρὸ τῆς ἐνανθρωπήσεως ἀπεκάλυψεν ἑαυτὸν τοῖς μακαρίοις προφήταις; καὶ πῶς ἔπειτα αὐτὸς ὁ Λόγος τοῦ Θεοῦ διὰ τῆς ἐνανθρωπήσεως ἐγένετο δοῦλος τοῦ Θεοῦ; Εἰς τὴν πρώτην ἐρώτησιν ἀποκρίνεται ποιησάμενος σύγκρισιν ἀπὸ τοῦ μουσικοῦ ὀργάνου, καὶ λέγει τοὺς μὲν προφήτας εἶναι δίκην χορδῶν, τὸν δὲ Λόγον ὡσεὶ πλῆκτρον, «δι' οὗ κινούμενοι ἀπήγγελλον ταῦτα, ἅπερ ἤθελεν ὁ Θεός». Ἀδύνατον παραστῆσαι ἰσχυροτέραν παραβολήν. «Οὐ γὰρ ἐξ ἰδίας δυνάμεως ἐφθέγγοντο», προστίθησιν ὁ διδάσκαλος. Ἐν δὲ τῇ εἰς τὴν δευτέραν ἐρώτησιν ἀποκρίσει ἀντεξετάζει τὸν Λόγον πρὸς ἰατρὸν μετ' ἀγάπης διαγιγνώσκοντα τὰς ἀσθενείας τοῦ τε πτωχοῦ καὶ τοῦ πλουσίου, τῶν ἀνθρώπων πάσης ἡλικίας καὶ παντὸς γένους (§ 3. 4.) (*).

ritus res suas ageret in illo, id est, virtutes, et opera, et signa, et caro passiones suas functa sit, esuriens sub diabolo . . .» (Lib. contr. Peax. cap. 27). Ὁ Ὠριγένης ἐν τῷ κατὰ Κέλσου συγγράμματι αὐτοῦ καὶ ὁ ἅγιος Γρηγόριος ὁ Ναζιανζηνὸς ἐν ταῖς πρὸς Κληδόνιον ἐπιστολαῖς αὐτοῦ οὐχ ἧττον λαμπρῶς ἀπορρίπτουσι τὰς μετὰ ταῦτα ὑπὸ τοῦ Νεστορίου καὶ τοῦ Εὐτυχοῦς διασπαρείσας πλάνας. Σ. Μ.

(¹) Τῷ Ἱερωνύμῳ (catal. § 61.) τῷ Καισαρείας Ἀνδρέᾳ (εἰς τὴν Ἀποκ. ιγ'. 1. σελ. 70.), τῷ Φωτίῳ (ἀνάγν. ϛβ'.).

[α] Κατὰ τὸν Φαβρίκιον καὶ τὸν Κεϊλλιέριον (tom. II. Hist. général. des anteurs pag. 334.), ἴσως ὁ Θεόφιλος οὗτός ἐστιν αὐτὸς ἐκεῖνος, ὃν προσαγορεύει ὁ Μεθόδιος ὁ Τύρου, σύγχρονος τῷ Ἱππολύτῳ, ἐν τῷ *περὶ ἀναστάσεως* βιβλίῳ αὐτοῦ. Παρ' ἐπιφάν. αἱρ. 64. σελ. 540. Σ. Μ.

(*) Ἰδοὺ οἱ λόγοι τοῦ Θείου Πατρός: «Ἀλλ' ἐπειδὴ τὸ ἑαυτοῦ εὔσπλαγχνον καὶ ἀπροσωπόληπτον ἐνδείκνυται δι' ἁπάντων τῶν ἁγίων ὁ Λόγος φωτίζων καὶ ῥυθμίζων αὐτόν, ὡς ἔμπειρος ἰατρός, πρὸς τὰ ἡμῖν συμφέροντα, ἐπιστάμενος τὴν ἀνθρώπων ἀσθένειαν· καὶ τοὺς μὲν ἀγνοοῦντας

Ταῦτα προτάξας ἄρχεται τῆς περὶ τοῦ Ἀντιχρίστου πραγματείας, χρώμενος μαρτυρίαις ἐκ τῆς ἁγίας Γραφῆς, καὶ σπουδάζει λῦσαι τὰς ἑξῆς ἐρωτήσεις: τίς καὶ οἵα ἔσται ἡ ἔλευσις τοῦ Ἀντιχρίστου, κατὰ τίνα ἡλικίαν καὶ χρόνον ἀποκαλυφθήσεται, πόθεν καὶ ἐκ τίνος φυλῆς, τί τὸ ὄνομα αὐτοῦ, τίνι τρόπῳ πλανήσει τὸν λαόν, τίνα καὶ τοῖς ἁγίοις θλίψιν ἐποίσει (§ 5 — 23). Ἔπειτα διασαφηνίζει τὰς ὁράσεις τοῦ Ναβουχοδονόσορος καὶ τοῦ Δανιὴλ ὧδε: Ἐπεὶ οὖν δυσνόητά τισι δοκεῖ εἶναι ταῦτα τὰ μυστικῶς εἰρημένα, οὐδὲν τούτων ἀποκρύψομεν πρὸς ἐπίγνωσιν τοῖς ὑγιῆ νοῦν κεκτημένοις. Λέαιναν γὰρ εἶπεν ἀναβαίνουσαν ἐκ τῆς θαλάσσης· τὴν τῶν Βαβυλωνίων βασιλείαν ἐν τῷ κόσμῳ ἐσήμανε, ταύτης οὖσαν τῆς

ἐκδιδάσκειν πειρᾶται· τοὺς δὲ πλανωμένους ἐπιστρέφει εἰς τὴν ἑαυτοῦ ἀληθινὴν ὁδόν· καὶ τοῖς μὲν μετὰ πίστεως ζητοῦσιν εὐκόλως εὑρισκόμενος· τοῖς δὲ καθαροῖς ὄμμασι καὶ ἁγνῇ καρδίᾳ κρούειν τὴν θύραν ἐπιθυμοῦσιν, εὐθὺς ἀνοιγόμενος. Οὐδένα γὰρ ἀποβάλλεται τῶν ἑαυτοῦ δούλων, ὡς μὴ ὄντα ἄξιον τῶν Θείων μυστηρίων· οὐ πλούσιον προτιμῶν πένητος· οὐδὲ πένητα διὰ τὸ μέτριον ἐξουθενῶν· οὐδὲ βάρβαρον ὀνειδίζων, οὐδὲ τὸν εὐνοῦχον, ὡς μὴ ἄνθρωπον, ἀφορίζων· οὐδὲ θῆλυ διὰ τὴν ἐξ ἀρχῆς γενομένην παρακοὴν μισῶν, οὐδὲ τὸν ἄρρενα διὰ τὴν παράβασιν ἀτιμάζων· ἀλλὰ πάντας θέλων καὶ πάντας σώζειν ἐπιθυμῶν, πάντας Υἱοὺς Θεοῦ καταρτίσαι θέλων καὶ τοὺς πάντας ἁγίους εἰς ἕνα τέλειον ἄνθρωπον καλῶν· εἷς γὰρ καὶ ὁ τοῦ Θεοῦ παῖς, δι' οὗ καὶ ἡμεῖς τυχόντες τὴν διὰ τοῦ ἁγίου Πνεύματος ἀναγέννησιν, εἰς ἕνα τέλειον καὶ ἐπουράνιον ἄνθρωπον οἱ πάντες καταντῆσαι ἐπιθυμοῦμεν. Ἐπειδὴ γὰρ ὁ Λόγος τοῦ Θεοῦ ἄσαρκος ὤν, ἐνεδύσατο τὴν ἁγίαν σάρκα ἐκ τῆς ἁγίας Παρθένου, ὡς νυμφίος ἱμάτιον ἐξυφάνας ἑαυτῷ ἐν τῷ σταυρικῷ πάθει, ὅπως συγκεράσας τὸ θνητὸν ἡμῶν σῶμα τῇ ἑαυτοῦ δυνάμει καὶ μίξας τῷ ἀφθάρτῳ τὸ φθαρτὸν καὶ τὸ ἀσθενὲς τῷ ἰσχυρῷ, σώσῃ τὸν ἀπολλύμενον ἄνθρωπον. Ἔστι μὲν οὖν ὁ ἱστός, τοῦ Κυρίου τὸ πάθος τὸ ἐπὶ τοῦ σταυροῦ γεγεννημένον· στήμων δὲ ἐν αὐτῷ, ἡ τοῦ ἁγίου Πνεύματος δύναμις· κρόκη δέ, ἡ ἁγία σὰρξ ἐνυφαινομένη Πνεύματι· μίτος δέ, ἡ δι' ἀγάπης Χριστοῦ χάρις σφίγγουσα καὶ ἑνοῦσα τὰ ἀμφότερα εἰς ἕν· κερκίδες δέ, ὁ Λόγος· οἱ διεργαζόμενοι, πατριάρχαι τε καὶ Προφῆται, οἱ τὸν καλὸν ποδήρη καὶ τέλειον χιτῶνα ὑφαίνοντες Χριστῷ, δι' ὧν ὁ Λόγος διϊκνούμενος, κερκίδων δίκην, ἐξυφαίνει δι' αὐτῶν τοῦθ' ὅπερ βούλεται ὁ Πατήρ.»

εἰκόνος χρυσῆν κεφαλήν· τὸ δὲ λέγειν: πτερὰ αὐτῇ ὡσεὶ ἀετοῦ, ὅτι ὑψώθη ὁ βασιλεὺς Ναβουχοδονόσορ, καὶ κατὰ τοῦ Θεοῦ ἐπήρθη. Εἶτά φησιν· ἐξετίλη τὰ πτερὰ αὐτῆς, ὅτι καθηρέθη αὐτοῦ ἡ δόξα· ἐξεδιώχθη γὰρ ἐκ τῆς βασιλείας αὐτοῦ. Τὸ δὲ εἰπεῖν· καρδία ἀνθρώπου ἐδόθη αὐτῇ, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη· ὅτι μετενόησεν ἐπιγνοὺς ἑαυτόν, ὅτι ἄνθρωπός ἐστι· καὶ ἔδωκε τὴν δόξαν τῷ Θεῷ. Μετὰ γοῦν τὴν λέαιναν, δεύτερον θηρίον ὁρᾷ ὅμοιον ἄρκτῳ, ὅπερ ἦσαν οἱ Πέρσαι. Μετὰ γὰρ Βαβυλωνίους Πέρσαι διεκράτησαν. Τὸ δὲ λέγειν· τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς, τρία ἔθνη ἔδειξε, Πέρσας καὶ Μήδους καὶ Βαβυλωνίους, ὅπερ δέδεικται μετὰ τὸν χρυσὸν ὁ ἄργυρος ἐν τῇ εἰκόνι. Ἔπειτα τὸ τρίτον θηρίον πάρδαλις, οἵτινες ἦσαν οἱ Ἕλληνες. Μετὰ γὰρ Πέρσας Ἀλέξανδρος ἐκράτησεν ὁ Μακεδών, καθελὼν Δαρεῖον, ὡς δέδεικται ἐν τῇ εἰκόνι ὁ χαλκός. Τὸ δὲ λέγειν· πτερὰ τέσσαρα πετεινοῦ, σαφέστατα ἐδίδαξε, πῶς διεμερίσθη ἡ βασιλεία Ἀλεξάνδρου· τέσσαρας γὰρ κεφαλὰς εἰπών, τοὺς τέσσαρας βασιλεῖς, τοὺς ἐξ αὐτῆς ἀναστάντας ἐμνημόνευσε. Τελευτῶν γὰρ Ἀλέξανδρος διεῖλε τὴν βασιλείαν αὐτοῦ εἰς τέσσαρα μέρη. Ἔπειτά φησι· θηρίον τέταρτον φοβερὸν καὶ ἔκθαμβον· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοί. Τίνες οὗτοι ἀλλ' ἢ Ῥωμαῖοι; ὅπερ ἐστὶν ὁ σίδηρος, ἡ νῦν ἑστῶσα βασιλεία· αἱ κνῆμαι γὰρ αὐτῆς σιδηραῖ. Μετὰ γὰρ τοῦτο τί παρείληπται, ἀγαπητέ, ἀλλ' ἢ τὰ ἴχνη τῶν ποδῶν τῆς εἰκόνος, ἐν οἷς μέρος μέν τι ἐστὶ σιδηροῦν, μέρος δέ τι ὀστράκινον, ἀναμεμιγμένον εἰς ἄλληλα. Μυστικῶς ἐδήλωσε διὰ τῶν δακτύλων τῶν ποδῶν τοὺς βασιλεῖς, τοὺς ἐξ αὐτῶν ἐγειρομένους, ἅπερ λέγει Δανιήλ· προσενόουν τὸ θηρίον, καὶ ἰδοὺ δέκα κέρατα ὀπίσω αὐτοῦ, ἐν οἷς ἀναβήσεται ἕτερον παραφυάδιον, καὶ τρία τῶν πρὸ αὐτοῦ ἐκριζώσει· ὅπερ δέδεικται οὐχ ἕτερον ἀλλ' ἢ ὁ Ἀντίχριστος ὃς καὶ αὐτὸς τὴν Ἰουδαίαν βασιλείαν ἀναστήσει. Τρία κέρατα λέγει ὑπ' αὐτοῦ ἐκριζοῦσθαι, τοὺς τρεῖς βασιλεῖς Αἰγύπτου, Λιβύων τε καὶ Αἰθιόπων, οὓς ἀναιρεῖ ἐν παρατάξει πολέμου. . . . ."
(§ 23 — 28). Κατὰ τὸν αὐτὸν σχεδὸν τρόπον ὁ ἅγιος Ἱππόλυτος

ἑρμηνεύει τὸ ἐνύπνιον τοῦ Ναβουχοδονόσορος περὶ τῆς μεγάλης καὶ ὑψηλῆς εἰκόνος, ἣν περιέγραψεν ὁ Δανιήλ. «Κεφαλὴ τῆς εἰκόνος χρυσῆ, λέγει, ἡ Λέαινα, Βαβυλώνιοι ἦσαν· ὦμοι καὶ βραχίονες ἀργυροῖ, ἡ ἄρκτος, Πέρσαι καὶ Μῆδοι· κοιλία καὶ μηρὸς χαλκοῦς, ἡ πάρδαλις, οἱ ἀπὸ Ἀλεξάνδρου κρατήσαντες Ἕλληνες· κνῆμαι σιδηραῖ, θηρίον ἔκθαμβον καὶ φοβερόν, Ρωμαῖοι οἱ νῦν κρατοῦντες· ἴχνη ποδῶν, ὄστρακον καὶ σίδηρος, καὶ τὰ δέκα κέρατα, τὰ μέλλοντα ἔσεσθαι· κέρας ἕτερον μικρὸν ἀναφυόμενον, ὁ ἐν αὐτοῖς ἀντίχριστος· λίθος πατάσσων τὴν γῆν, καὶ ἐπάγων τῷ κόσμῳ τὴν κρίσιν, Χριστός» (§28). Μετὰ ταῦτα ὁ ἅγιος Ἱππόλυτος λέγει πληρωθῆναι κατὰ μέγα μέρος τὴν προφητείαν τοῦ Ἡσαΐου περὶ τῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ κεφ. ά. έ. ζ΄. τὴν προφητείαν τοῦ Δανιὴλ περὶ τῆς πρότερον διασαφηνισθείσης εἰκόνος, καὶ ἄλλην προφητείαν τοῦ Ἡσαΐου κεφ. μζ΄. 1. καὶ καθ., εἶτα δὲ περιγράφει διὰ μακρῶν τὴν καταδίκην τοῦ Ἀντιχρίστου ἐκ τῆς Ἀποκαλ. τοῦ ἁγίου Ἰωάννου κεφ. ιζ΄. καὶ ιή. Τὰ κεφάλαια ταῦτα ἀναφέρει ἐν ἐκτάσει, καὶ τέλος ἐπάγει: «Περὶ μὲν τῆς τῶν βασάνων τῶν ἐπερχομένων αὐτῇ ἐπ᾽ ἐσχάτων ὑπὸ τῶν τότε ἐσομένων τυράννων μερικῆς κρίσεως, σαφέστατα ἐν τοῖς ῥητοῖς τούτοις δεδήλωται» (§43). Ἔπειτα ἐκτίθησι τίνι τρόπῳ ὁ Ἀντίχριστος παραστήσει ἑαυτὸν ὡς Θεὸν (§52) καὶ συναγερεῖ πρὸς ἑαυτὸν τὸν λαὸν (§54), καὶ καταδιώξει τὴν Ἐκκλησίαν (§56 καὶ καθ.). Κρατήσει δέ, λέγει, ἡμέρας χιλίας διακοσίας ἑξήκοντα (*) ὧν συμπληρωθεισῶν, ἔσται ἡ συντέλεια τοῦ κόσμου, ἡ τελευταία κρίσις, καὶ ἡ βασιλεία τῶν Οὐρανῶν (§ 61, 62, 63, 64, 65, 66). Τέλος καταπαύει τὴν ἀπόδειξιν αὐτοῦ ὧδε: «Ταῦτά σοι, παρέστησα, διὰ βραχέων ἀρυσάμενος, Θεόφιλε, ὅπως φυλάσσων μετὰ πίστεως τὰ γεγραμμένα, καὶ προβλέπων τὰ ἐσόμενα, ἀπρόσκοπον ἑαυτὸν καὶ Θεῷ καὶ ἀνθρώποις φυλάξῃς, προσδεχόμενος τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, ἐν ᾗ ἀναστήσας τοὺς ἁγίους ἡμῶν συν.

(*) Καὶ ὁ ἅγιος Εἰρηναῖος ἐδόξαζεν, ὅτι ἡ βασιλεία τοῦ Ἀντιχρίστου διαρκέσει τρία ἔτη καὶ ἓξ μῆνας (Κατὰ αἱρέσ. βιβλ. έ. κεφ. 30. §3.4.) Σ.Μ.

αὐτοῖς εὐφρανθήσεται, δοξάζων Πατέρα· αὐτῷ ἡ δόξα εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.»

Ἐπαινῶν τὸ σύγγραμμα τοῦτο ὁ Φώτιος, ὀρθῶς παρετήρησε: «τὸ δὲ τὴν τοῦ Ἀντιχρίστου παρουσίαν, καθ' ἣν καὶ ἡ τοῦ αἰσθητοῦ κόσμου συντέλεια ἵσταται, μηδὲ τοῖς μαθηταῖς δεομένοις τοῦ Σωτῆρος ἀποκαλύψαντος, εἶτα αὐτὸν ταύτην πεντακοσίοις ἔτεσιν ἀπὸ Χριστοῦ ὑπαχθέντα περιγράψασθαι, ὡσανεὶ τὴν ἀπὸ πρώτης τοῦ κόσμου καταβολῆς ἑξακισχιλίων ἐτῶν συντελουμένων, καὶ τὴν διάλυσιν αὐτοῦ ἐφεστάναι, τοῦτο καὶ θερμοτέρας ἂν εἴη τοῦ προσήκοντος γνώμης, καὶ ἡ ἀπόφασις ἀνθρωπίνης ἀγνοίας ἀλλ' οὐκ ἐπιπνοίας τῆς ἄνωθεν διελέγχει» (¹).

Ὁ λόγος τοῦ ἁγίου Ἱππολύτου εἰς τὰ ἅγια Θεοφάνειά ἐστιν ἀξιοσημείωτος διὰ τὴν δογματικὴν αὐτοῦ ὑπόθεσιν καὶ ὡς δεῖγμα τῆς εὐγλωττίας τοῦ ἀρχαίου διδασκάλου (²). Καὶ εἰμὴ ἦν

(¹) Ἀνάγν. σϛ'.

(²) Αὐτὸ τὸ ὄνομα τῆς ἑορτῆς τῶν Θεοφανείων δείκνυσιν, ὅτι ἦν ἑορτὴ οὐ μόνον τῆς Βαπτίσεως τοῦ Κυρίου, ἀλλὰ καὶ τῆς Γεννήσεως τοῦ Χριστοῦ ὡς ὁρῶμεν καὶ ἐν τοῖς μνημείοις τοῦ τετάρτου αἰῶνος. Τὸ τελευταῖον ἐν μέρει δῆλον καὶ παρὰ τῷ ἁγίῳ Ἱππολύτῳ (§ 8). [Ἡ ἐπὶ γῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσία, λέγει ὁ κλεινὸς Καθηγητὴς Κ. Κοντογόνης, καὶ ἡ κλῆσις αὐτοῦ εἰς τὸ ἔργον τῆς ἀπολυτρώσεως ἐπὶ τοῦ ὑπὸ Ἰωάννου τοῦ Προδρόμου βαπτίσματος ἤρχισαν νὰ ἑορτάζωνται ὑπὸ τῶν χριστιανῶν κατὰ τὴν β'. ἑκατονταετηρίδα, ὑπὸ τὸ ὄνομα *τῆς ἐπιφανείας ἢ τῶν ἐπιφανείων καὶ Θεοφανείων* . . . . . » (Ἐκκλ. ἱστορ. σελ. 300). « . . . . Τὸ πρῶτον ἴχνος τῆς ἐξαπλώσεως ταύτης τῆς ἑορτῆς εἰς τὴν Δυτικὴν Ἐκκλησίαν εὑρίσκομεν ἐν ἔτει 360· διότι ὁ ἱστοριογράφος Ἀμμιανὸς Μαρκελλῖνος διηγεῖται, ὅτι ὁ τότε ἐν Βιέννῃ τῆς Γαλλίας διατρίβων Ἰουλιανὸς ὁ παραβάτης εἰσῆλθεν εἰς τὴν ἐκεῖ χριστιανικὴν Ἐκκλησίαν καὶ προσηυχήθη τῇ ϛ'. Ἰανουαρίου κατὰ τὴν ἑορτὴν τῶν Ἐπιφανείων (Hist. I. XXI. c. 2)· καὶ ἴσως διὰ τῆς κοινωνίας τῶν ἀποίκων ἑλληνικῶν καὶ ἐμπορικῶν πόλεων τῆς μεσημβρινῆς Γαλλίας πρὸς τὴν Ἀνατολὴν ἦλθεν ἡ ἑορτὴ εἰς τούτους τοὺς τόπους πρωϊαίτερον, ἢ εἰς ἄλλους τῆς δυτικῆς Ἐκκλησίας. Συνεωρτάζετο δὲ κατ' ἐκείνην τὴν ἡμέραν καὶ *ἡ προσκύνησις τῶν μάγων, ἡ βάπτισις τοῦ Χριστοῦ ἐν τῷ Ἰορδάνῃ* (ὅθεν ἐν τῇ ἀνατολικῇ Ἐκκλησίᾳ τὸ ὄνομα *ἑορτὴ τῶν Φώτων* ἢ *τὰ Φῶτα*) καὶ

γνωστὸς ὁ σημαντικὸς ἀριθμὸς τῶν λόγων τοῦ ἁγίου Ἱππολύτου, τὸ μὲν ἐξ ἐπιγραφῶν, τὸ δὲ ἐκ τεμαχίων (1), μόνος ὁ εἰς τὰ Θεοφάνεια λόγος ἤρκει ἂν ἀποδεῖξαι, ὅτι ὁ ἅγιος πατὴρ ἦν πεπροικισμένος τῷ δώρῳ τοῦ λόγου. ἐφ' ᾧ ὁ Φώτιος καλεῖ αὐτὸν δικαίως γλυκὺν διδάσκαλον [α] Ὁ λόγος οὗτος ἐγράφη μετὰ ζωηρότητος καὶ γλώσσης εἰλικρινοῦς ψυχῆς, ἀμηχάνως διϊκνουμένης εἰς τὴν ψυχήν. Ἐν μὲν τῷ πρώτῳ ἡμίσει μέρει ὁ ῥήτωρ περιγράφει τὸ μεγαλεῖον τῆς ἀγάπης καὶ τῆς ταπεινώσεως τοῦ Σωτῆρος, ὃς Κύριος ὢν καὶ Δημιουργὸς δέχεται τὸ βάπτισμα παρὰ δούλου. Ἐν δὲ τῷ δευτέρῳ περιγράφει τὰς ἐνεργείας τοῦ Βαπτίσματος καὶ τὸ Πνεῦμα τῆς χάριτος. Ἰδοὺ πῶς διαγράφει τὸ μέγα τοῦτο μυστήριον: «Ὁ τῆς ἀθανασίας Πατὴρ τὸν ἀθάνατον Υἱὸν καὶ Λόγον ἀπ-

---

τὸ *ἐν Κανᾷ τῆς Γαλιλαίας θαῦμα* (Maxim. Taur. hom. 23). Καίτοι δὲ ἡ ἑορτὴ ἦν μονοήμερος, μεγάλως ὅμως ἐτιμᾶτο καὶ ἐθεωρεῖτο ὡς ἡμέρα, ἐν ᾗ ἔπρεπε τοὺς Κατηχουμένους βαπτίζεσθαι» (αὐτόθ. σελ. 262—63). Σ. Μ.].

(1) Λόγοι τοῦ ἁγίου Ἱππολύτου, γνωστοὶ ἐν τεμαχίοις, εἰσὶ α'] *εἰς τὸν Ἐλκανᾶν καὶ τὴν Ἄνναν* (παρὰ Θεοδωρήτῳ Διάλ. Ά. Τόμ. Δ'. σελ. 36. Διάλ. Β'. αὐτόθ. σελ. 88.) β'] δεύτερος λόγος *εἰς τὸν Δανιὴλ* (παρ' Εὐστρατίῳ πρεσβυτέρῳ τῆς μεγάλης Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως ἐν τῷ συγγράμματι κατὰ τῶν λεγόντων τὰς ψυχὰς μετὰ τὴν ἀπαλλαγὴν τοῦ σώματος οὐκ ἐνεργεῖν αὐτίκα, κ.τ.λ. κεφ. 19.)· γ'] *εἰς τὸ Πάσχα* (consil. Lateran. sub Martino I, ann 649 . . . . V. pag. 293. tom. VII edit. Veneto-Labb.)· δ'] *περὶ Θεολογίας* (αὐτόθ. pag. 287.)· ε'] *περὶ ἀναστάσεως καὶ ἀφθαρσίας* (παρ' Ἀναστ. τῷ Σιναΐτῃ ἐν ὁδηγ. σ. 350.) ς'] *εἰς τὴν τῶν ταλάντων διανομὴν* (παρὰ Θεοδώρ. Διάλ. Β'. σελ. 88.) ζ'] *εἰς τοὺς δύο λῃστὰς* (παρὰ τῷ αὐτῷ Θεοδωρήτῳ Διάλ. Γ'. σελ. 156.)· η'] *εἰς τὴν ἀρχὴν τοῦ Ἡσαΐου* (παρὰ τῷ αὐτῷ Θεοδ. Διάλ. Ά. σελ. 36.)· θ'] *εἰς τὴν ᾠδὴν τὴν μεγάλην* (παρὰ τῷ αὐτῷ Θεοδωρ. Διάλ. Β'. σελ. 88. 89.) Πάντα τὰ τεμάχια συνελέγησαν καὶ ἐξεδόθησαν ὑπὸ Φαβρικίου Opp. S. Hippolyti T. I. p. 267. 281. T. II. p. 32. 145.) καὶ ὑπὸ τοῦ Μιγνίου (Patr. gr. T. X. p. 861-867).

[α] Ὁ ἱερὸς Φώτιος οὐ καλεῖ αὐτὸν *γλυκὺν διδάσκαλον*, ἀλλὰ περὶ τοῦ ὕφους αὐτοῦ λέγει τάδε: «τὴν δὲ φράσιν σαφής ἐστι καὶ ὑπόσεμνος καὶ ἀπέριττος, εἰ καὶ πρὸς τὸν Ἀττικὸν οὐκ ἐπιστρέφεται λόγον» (ἀνάγν. ρκα'.) Σ. Μ.

έστειλεν εἰς τὸν κόσμον, ὃς ἀφικόμενος εἰς τὸν ἄνθρωπον λούσασθαι ὕδατι καὶ πνεύματι· καὶ ἀναγεννήσας πρὸς ἀφθαρσίαν ψυχῆς τε καὶ σώματος, ἐνεφύσησεν ἡμῖν Πνεῦμα ζωῆς, περιαμφιάσας ἡμᾶς ἀφθάρτῳ πανοπλίᾳ. Εἰ οὖν ἀθάνατος γέγονεν ὁ ἄνθρωπος, ἔσται καὶ Θεός[*]. Εἰ δὲ Θεὸς δι' ὕδατος καὶ Πνεύματος ἁγίου μετὰ τὴν τῆς κολυμβήθρας ἀναγέννησιν γίνεται, εὑρίσκεται καὶ συγκληρονόμος Χριστοῦ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. Διὸ κηρύσσω λέγων· Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ἐπὶ τὴν τοῦ βαπτίσματος ἀθανασίαν. Ζωὴν ἡμῖν εὐαγγελίζομαι, τοῖς ἐν τῷ ζόφῳ τῆς ἀγνωσίας ἐνδιατρίβουσιν. Δεῦτε εἰς ἐλευθερίαν ἐκ δουλείας, εἰς βασιλείαν ἐκ τυραννίδος, εἰς ἀφθαρσίαν ἐκ τῆς φθορᾶς. Καὶ πῶς φησίν, ἐλευσόμεθα; Πῶς; δι' ὕδατος καὶ ἁγίου Πνεύματος. Τοῦτο δέ ἐστι τὸ ὕδωρ τὸ Πνεύματι κοινωνοῦν, δι' οὗ παράδεισος ποτίζεται, δι' οὗ ἡ γῆ πιαίνεται, δι' οὗ φυτὸν αὔξει, δι' οὗ ζῶα τεκνογονεῖ· καί, ἵνα πάντα συνελὼν εἴπω, δι' οὗ ἀναγεννώμενος ζωογονεῖται ἄνθρωπος, ἐν ᾧ καὶ ὁ Χριστὸς ἐβαπτίσατο, ἐν ᾧ καὶ τὸ Πνεῦμα κατήρχετο ἐν εἴδει Περιστερᾶς» (§ 8). Περὶ τοῦ Πνεύματος—τοῦ ἁγιάζοντος λέγει: «Τοῦτο δέ ἐστι τὸ Πνεῦμα, τὸ ἀπ' ἀρχῆς ἐ π ι φ ε ρ ό μ ε ν ο ν ἐπάνω τῶν ὑδάτων· δι' οὗ κόσμος κινεῖται, δι' οὗ κτίσις ἵσταται καὶ τὰ σύμπαντα ζωογονεῖται· τὸ ἐν Προφήταις ἐνεργῆσαν, τὸ ἐπὶ Χριστὸν καταπτάν. Τοῦτό ἐστι τὸ Πνεῦμα τὸ δοθὲν τοῖς Ἀποστόλοις ἐν εἴδει πυρίνων γλωσσῶν. Τοῦτο τὸ Πνεῦμα ἐζήτει Δαυῒδ λέγων. «Καρδίαν καθαρὰν κτίσιν ἐν ἐμοί, ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου». Περὶ τούτου καὶ Γαβριὴλ ἔλεγε τῇ Παρθένῳ. «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ Σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει Σοι». Διὰ τούτου τοῦ Πνεύματος Πέτρος ἐφθέγξατο τὴν μακαρίαν ἐκείνην φωνήν. «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος». Διὰ τούτου τοῦ Πνεύματος ἐστερεώθη ἡ Πέτρα τῆς Ἐκκλησίας. Τοῦτό ἐστι τὸ Πνεῦμα, ὁ Παράκλητος, τὸ διὰ σὲ πεμπόμενον, ἵνα δείξῃ σε τέκνον Θεοῦ» (§ 9). Ἐν τῷ

[*] Ἀποβλέπει εἰς τὸ τοῦ Πέτρου Β'. α'. 4. « . . . . δι' ὧν τὰ μέγιστα ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε Θείας κοινωνοὶ φύσεως. . . . » Σ. Μ.

τέλει λέγει: «Δεῦρο τοίνυν, ἀναγεννήθητι, ἄνθρωπε, εἰς υἱοθεσίαν Θεοῦ. Καὶ πῶς; φησίν· ἐὰν μηκέτι μοιχεύσῃς, μηδὲ φονεύσῃς, μηδὲ εἰδωλολατρεύσῃς· ἐὰν μὴ κρατηθῇς ὑφ᾽ ἡδονῆς, ἐὰν μὴ πάθος ὑπερηφανίας κυριεύσῃ σου· ἐὰν ἀποξέσῃς τὸν ῥύπον τῆς ἀκαθαρσίας, καὶ ἀπορρίψῃς τὸ φορτίον τῆς ἁμαρτίας· ἐὰν ἀποδύσῃ τὴν πανοπλίαν τοῦ διαβόλου, καὶ ἐνδύσῃ τὸν θώρακα τῆς πίστεως, καθὼς φησιν Ἡσαΐας· «Λούσασθε....» Εἶδες, ἀγαπητέ, πῶς προεῖπεν ὁ Προφήτης τὸ βαπτίσματος καθάρσιον; Ὁ γὰρ καταβαίνων μετὰ πίστεως εἰς τὸ τῆς ἀναγεννήσεως λουτρὸν διατάσσεται τῷ πονηρῷ, συντάσσεται δὲ τῷ Χριστῷ· ἀπαρνεῖται τὸν ἐχθρόν, ὁμολογεῖ δὲ τό, Θεὸν εἶναι τὸν Χριστόν· ἀποδύεται τὴν δουλείαν· ἐνοῦται δὲ τὴν υἱοθεσίαν· ἀνέρχεται ἀπὸ τοῦ βαπτίσματος λαμπρὸς ὡς ὁ Ἥλιος, ἀπαστράπτων τὰς τῆς δικαιοσύνης ἀκτῖνας· τὸ δὲ μέγιστον, ἄνεισιν Υἱὸς Θεοῦ καὶ συγκληρονόμος Χριστοῦ...» (§ 10).

§ 56. *Ἑρμηνεία εἰς τὴν ἁγίαν Γραφήν· ὑποβολιμαῖα συγγράμματα.*

Κρίνοντες ἐξ ἀρχαίων μαρτυριῶν περὶ τοῦ ἁγίου Ἱππολύτου, ὀφείλομεν ὁμολογῆσαι, ὅτι πλεῖστον ὅσον ἠσχολήθη περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς· ἀλλὰ τῶν πονημάτων τούτων ἄλλα μὲν τέλεον ἀπωλέσθησαν, ἄλλα δὲ οὐκ ἐξεδόθησαν. Ὁ ἅγιος Ἱππόλυτος ἔγραψεν ὑπομνήματα εἰς τὸ βιβλίον τῆς Γενέσεως, τῆς Ἐξόδου (¹), εἰς τοὺς προφήτας Ἡσαΐαν, Ἰεζεκιήλ, Δα-

(¹) Ὁ Εὐσέβιος (ἐκκλ. ἱστορ. ς΄. 22) καὶ ὁ Ἱερώνυμος (de vir. illustr. c. 61. epist. 41. ad Pammach. et. Ocean.) ποιοῦνται μνείαν τῆς εἰς *τὴν Γένεσιν* ἑρμηνείας. Τὰ περισωθέντα τεμάχια τῆς ἑρμηνείας ταύτης ἐξεδόθησαν ὑπὸ τοῦ Μιγνίου (Patrol. T. X. pag. 583—606). Ἡ ἑρμηνεία εἰς τὴν *Ἔξοδον* ἀπωλέσθη πλὴν ἑνὸς μόνου τεμαχίου διασωθέντος παρὰ Λεοντίῳ τῷ Βυζαντίῳ (βιβλ. Ά. κατὰ Νεστορ. καὶ Εὐτυχ.) καὶ ἐκδοθέντος ὑπὸ τοῦ Γαλλανδίου. Τὸ τεμάχιον τοῦτο ἀναγινώσκεται καὶ παρὰ τῷ Μαΐῳ Script. vet. tom. VII. p. 134. καὶ ἐν τῇ τοῦ Μιγνίου Πατρολογίᾳ Tom. X. pag. 605—606. Διεσώθησαν ὡσαύτως δύο τεμάχια ἐκ τῆς ἑρμηνείας εἰς τοὺς Ἀριθμοὺς καὶ τὰς Βασιλείας, ἅπερ ἐξέδωκεν ὁ αὐτὸς Μίγνιος Tom. X. pag. 605—606.